2.238 331. ἐκ τῶν γὰρ ἐσθλῶν: ἐὰν εἴπω τὸ ἀγαθὸν, εἰς αἰσχρόν μοι καθίσταται. εἰκότως, φησὶ, κρύπτω ἃ ἀπαιτεῖς με λέγειν. μέλλω ad verba οὐ δῆθ̓ ἔκοῦσά γε explicanda εἰς πολλοὺς ἡ νόσος, omisso γίνεται, valent. MATTH. ceteri. 3. ἀντωμένη] ἀντὶ τοῦ A. 16. κἄπειτα κρύπτεις add. A. 4. ἤτοι om. A. ib. ἐὰν A. ἂν B.I. ib. ἐπάγει δεύτερον τὸ] εἶπε δεύτερον ib. μὴ] μὲν Heath. ib. χρηστά] κρυπτά A. 5. κακόν ἐστί σοι A. κακὰ οὖν 17. ἐστιν] τοῦτ̓ἐστὶν A. ἐστιν B.I. 18. ἐσόμενα] γινόμενα A. 6. τὸ κάθος A. τοῦ κόθου Fl. 6. 15. 19. ἢ οὕτως om. I. 7. ὡς καὶ] ὡς ὁ A. ib. με A. Fl. 6. 15. μοι B.I. ib. ἀκούοντας A. ἄκοντας Fl. 6. 15. 20. καὶ ἐπὶ χρηστῷ add. A., om. ib. ἀπολῇ] τὸ μέντοι ἀπολῇ M. B.I. In Fl. 6. 15. est καὶ ἀξιούσης 8. φησὶν εἰ] εἰ δ̓ A. ut videtur. ἀνακοινοῦσθαί μοι καὶ ἐπὶ χρηστοῖς. ib. ἀναγκάσεις] ἀναγκάσοις Fl.6. 15. 21. ἐὰν—μοι καθίσταται addidi ex ib. με om. A. A. Habet etiam Fl. 6. qui ᾧ pro ib. τὸ] τοσοῦτο A. τοῦτο B. Fl.6.15. μοι. ib. ἀπονέμει A.M. φέρει B.I. 22. φησὶ add. A. 9. ἡ νόσος εἰς πολλοὺς γίνεται A. ib. μέλλω γὰρ] γὰρ om. A. γὰρ ἐκ τούτων τῶν ἐσθλῶν, δηλαδὴ τῆς ἐγκρατείας, εἰς αἰσχρὰ μεταλαμβάνειν, ὅ ἐστι φονεύειν ἐμαυτήν. ἐὰν μέντοι ᾖ λέγουσα ἡ γραῦς, χρηστά μου ἀναγκαζούσης σε λέγειν κρύπτεις με, ἀναλόγως ἐπιφέρει ὅτι ἐκ γὰρ τῶν ἀγαθῶν τούτων ὧν λέγεις, ὅ ἐστι τοῦ φανερῶσαι τὸ πάθος, ἐγὼ εἰς αἰσχρὰν ἐμπεσοῦμαι φήμην, ἢ καὶ πορνεύειν ἀναγκασθήσομαι. γράφεται δὲ καὶ "ἐκ τῶν γὰρ αἰσχρῶν ἐσθλά," ὅ ἐστι, πειρῶμαι μὲν ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πορνείας ἐξελθεῖν, εἰς σωφροσύνην δὲ πηδῆσαι, διὸ ἐν σιωπῇ βούλομαι ἀποθανεῖν. καὶ ἔστιν αὕτη ἡ γραφὴ ἁρμοζομένη τῷ ἑξῆς· εἰ γὰρ κρύφα, φησὶν, ἐξ αἰσχρῶν ἐσθλὰ μηχανήσασθαι βουλεύῃ, πόσῳ μᾶλλον θαυμασθήσῃ αὐτὴν διεξελθοῦσα σαφῶς τὴν βουλήν. καθόλου γὰρ ἡ σαφὴς ἐπίδειξίς ἐστιν ἰσχυροτέρα. διὸ καὶ ἀπορήσασα ἀντειπεῖν φησιν, ἄπελθε πρὸς θεῶν δεξιᾶς τ᾽ἐμῆς μέθες. ὅμως γε μὴν ἡ προτέρα γραφὴ βελτίων.

2.239 332. τιμιωτέρα φανῇ: σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ ἀπόρρητά μοι θαρροῦσα, ἢ σοφωτέρα, ὡς φίλοις θαρροῦσα τὴν συμφορὰν, καὶ μὴ κρυπτῷ πάθει πολιορκουμένη. κατὰ γὰρ Μένανδρον τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα σοφῶν ἀνδρῶν ἐστιν, ἐν οἷς φησι “λανθάνει τὰ πράγματα τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ τοῖς ἀναγκαίοις” καὶ τὰ ἑξῆς. A.B.I.

2.240 337. ὦ τλῆμον, οἷον, μῆτερ ἠράσθης ἔρον: αἰνιγματικῶς θέλει φράσαι τὸν ἔρωτα. πιθανώτατα δὲ ἅμα τῷ αἰνιγμῷ καὶ τὴν συγγνώμην ᾐτήσατο, ὡς προγονικὸν κεκτημένη τὸ πάθος καὶ οὐκ ἰδίας φύσεως ἁμάρτημα.

2.241 339. σύ τ᾽, ὦ τάλαινα: ἀντὶ τοῦ ὃν εἰς τὸν ταῦρον ἔσχεν. Θησέως γὰρ ἠράσθη Ἀριάδνη, ἡ ἀδελφὴ Φαίδρας. B. M. Fl. 15.

2.242 340. κακορροθεῖς: κακολογεῖς. M. Fl. 15. λοιδορεῖς. A.M. Fl.15. ὑβρίζεις. B. ὠνείδιζε γὰρ αὐταῖς τὰς νόσους. M.

2.243 343. ἐκεῖθεν ἡμεῖς: ἐκ τῆς καταγωγῆς τοῦ γένους δυστυχοῦμεν τὴν νόσον τοῦ ἔρωτος, ἀντὶ τοῦ προγονικήν τινα δυστυχίαν δυστυχοῦντες τοῦτο πάσχομεν. A.B.M.I. γρ. καὶ νεωστὶ, ἵν᾽ ᾖ καὶ ἐκεῖθεν καὶ νεωστὶ δυστυχοῦμεν. A.B.M.

2.244 344. οὐδέν τι μᾶλλον: οὐ μᾶλλον οἶδα. τὸ δὲ οὐδέν παρέλκει. B. οὐδὲν πλέον σου ἐπεξεργαζομένης ἔχω γνῶναι, ὃ βούλομαι ἀκοῦσαι, τουτέστι προφάσει τῆς νόσου οὐδὲν μᾶλλον οἶδα ἀκούειν ὃ βούλομαι.

2.245 345. πῶς ἂν σύ μοι λέξειας: ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσα ἡ γραῦς τοῖς τοιούτοις αἰνιγμοῖς οὐ συνῆκε τὸ λεγόμενον ὑπὸ τῆς Φαίδρας, ἀγανακτοῦσα ἡ Φαίδρα φησὶ, πῶς ἂν δυνηθείης εἰπεῖν μοι ταῦτα ἃ ἔδει ἐμὲ ἀποκρίνασθαι, καὶ πῶς μοι λέγοις ἃ μέλλω λέγειν; ἐπεὶ οὖν, ὡς εἴρηται, πολυμερῶς αἰνιξαμένη τὸ παχύτερον τοῦ λογισμοῦ τῆς γραὸς οὐκ ἐδυνήθη συμβαλεῖν, ἀπερυθρῶσα τὸ πάθος ἐξειπεῖν, εἰς τοῦτο ἀπορίας ἦλθε ὥστε ἐρωτᾶν αὐτὴν ἅπερ αὐτὴν ἔδει λέγειν. τοῦτο δὲ καὶ τὸ αἰδεστικὸν τοῦ γυναίου τεκμαίρει 1. αἰνιγματικῶς] αἰνιγμωτωδῶς 1. πῶς ἂν σὺ μὲν τὸ πάθος ἐρυθριῶσα ἐξειπεῖν ib. θέλει φράσαι] φράσαι θέλει M. B.I. 18. τοῖς τοιούτοις (τοσούτοις Fl. 6.) 2. τῷ αἰνιγμῷ] τῶν αἰνιγμῶν Fl. 6. αἰνιγμοῖς om. A.I. 3. κεκτημένη] κεκτημένην 1. κεκτημένος 20. λέγοις] λέξεις A. M. ib. μέλλω λέγειν A.M. λέγειν μέλλω 5. ἀντὶ τοῦ—ἔσχεν addidi ex B. B.I. 6. Ἀριάδνη, ἡ] ἡ ἀριάδνη Fl. 21. οὖν] γὰρ A. 14. ἐπεξεργαζομένης A.M. ἐπεργαζομένης ib. ὡς εἴρηται om. A. B.l. 22. τοῦ λογισμοῦ add. A. 15. προφάσει] πρόφασιν A.M. 23. εἰς τοῦτο ἀπορίας] εἰς ἀπορίαν A. 17. ἐπεὶ—ἐξειπεῖν] πῶς ἂν δυνηθείης 24. αὐτὴν ἔδει] καὶ δεῖ A. —λέγοις ἃ μέλλω λέγειν. ἐπεὶ παχυτέρα ib. αἰδεστικὸν] αἰδετικὸν Fl. 6. αἰσχυντικὸν τὸν νοῦν οὖσα ἡ γραῦς τοῖς τοιούτοις M. αἰνιγμοῖς οὐ συνῆκε—ἡ φαίδρα φησὶ ib. τεκμαίρει] δηλοῖ M. καὶ τὸ κομματικὸν τῶν νοσούντων. κεκωμῴδηται δὲ ὁ στίχας οὗτος ὑπὸ Ἀριστοφάνους διὰ τὴν κοινότητα καὶ εἰς παροιμίαν μετῆκται.

2.246 347. τί τοῦθ᾽ ὃ δή: ἀγνοούσῃ δἰ αἰνιγμῶν αὐτῇ συμβάλλειν αὐτὴ λοιπὸν ἐρωτᾷ τὴν τοῦ ἔρωτος φύσιν, δηλοῦσα ὅτι ἔκ τινος θείας ὀργῆς τοῦτο νοσεῖ, οὐκοῦν ἐκ μελέτης καὶ κακῆς φύσεως, ὅπου γε καὶ τὴν ἰδίαν ἀγνοεῖ τοῦ πάθους φύσιν. A.B.I.

2.247 349. ἡμεῖς ἂν ἦμεν: τῷ ἑτέρῳ εἴδει τοῦ ἔρωτος, δηλαδὴ τῷ ἀλγεινῷ, ὡς δηλοῖ ἡ νόσου. A.B.

2.248 351. ὅστις ποθ᾽ οὗτος: πιθανώτατα παρέδραμε τὸ ὄνομα, ἤτοι αἰδουμένη, ἢ διὰ τούτου σημᾶναι θέλουσα ὡς οὐκ ἐξ εἰδήσεως οὐδὲ ἀπὸ τρυφῆς καὶ συνεχοῦς θέας αὐτοῦ ἐρᾷ, ἀλλὰ χόλῳ τῆς

Ἀφροδίτης, οὐ τῷ κάλλει τοῦ νέου. οἱ σώφρονες γὰρ οὐχὶ θέλοντες κακῶν ἐρῶσιν, ἀλλ̓ ἀναγκαζόμενοι.

2.249 352. σοῦ τάδ̓ , οὐκ ἐμοῦ: σαυτῆς ταῦτα κλύεις, οὐκ ἐμοῦ, ἀντὶ τοῦ, σὺ εἶπας, οὐκ ἐγώ. ἄριστα δὲ καὶ ἡ ἄρνησις μετὰ τὴν τὴν σαφῆ.

2.250 353. οἴμοι, τί λέξεις: σαφῶς ἀκούσασα τὸν ἔρωτα λοιπὸν σχετλιάζει τὴν ὑπερβολὴν τοῦ πάθους. κομματικὴ δὲ ἡ διάνοια ὡσὰν ἐκπεπληγμένης τῷ θαύματι.

2.251 357. χαίρετ᾽: σώζοισθε. B.

2.252 358. οἱ σώφρονες: ἡ σωφρονοῦσα αὐτή. B.

2.253 359. οὐκ ἄῤ ἦν θεός: θεὸν γὰρ κυρίως λέγουσι τὸν μετὰ τοῦ προνοητικοῦ καὶ τὸ δυνατὸν ἔχοντα τῶν δυναστευομένων. μείζονα οὖν φησιν αὐτὴν θεοῦ, καθὸ μόνον ἐνδείξασθαι δύναμιν γίνεται, οὐ τοῦ προνοεῖσθαι.

2.254 362. ἄϊες ὦ: ἐκπλαγεὶς ὁ χορὸς τὴν ὑπερβολὴν τοῦ πάθους, σχετλιάζει οἰκτείρων ἅμα καὶ θρηνῶν τὸ συμβάν. καὶ τὸ σχετλιαστικὸν ὦ διὰ μέσου κείμενον οἰκεῖον ἐν λυπουμένοις. οὐκ εὐαπάρτιστον ἀποτελεῖ τὸ σχῆμα τοῦ λόγου, διαφόροις τε ῥήμασιν αὐτὸ κατεπάγει, τὸ τῶν λυπουμένων ἦθος μιμούμενος, ὅσοι τὰ αὐτὰ κατεπάγουσι πρὸς πλείονα ἐνθύμησιν τῶν ἑαυτῶν κακῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἤκουσας, φησὶ, τῆς τυράννου τὰ ἀνήκουστα καὶ δυστυχῆ πάθη θροούσης καὶ λεγούσης. πρὸς ἀλλήλας δέ φασιν, οὐχ ὡς ἀγνοοῦσαι τὰ λεχθέντα, ἀλλὰ πρὸς πλείονα σύστασιν καὶ ἐνθύμησιν τοῦ πάθους. οἰκειότατα δὲ μέσον κατεπάγει τὸ σχετλιαστικὸν, ὡς ἂν τῇ λύπῃ κωλυομένη ἀπαρτίσαι τὴν διάνοιαν. ἀνήκουστα δὲ τὰ μὴ ἀκοῆς ἄξια, τὰ ἀπόρρητα.

2.255 363. θρεομένας: λαλούσης. B.

2.256 364. ὀλοίμαν ἔγωγε: ἀπολοίμην πρίν σε ἀποθανοῦσαν ἰδεῖν καὶ πληρῶσαι τὴν σὴν φιλίαν. A.B.

2.257 σὰν φιλίαν: ἢ πρὶν σὲ τὴν φιλτάτην καταλῦσαι τὴν σωφροσύνην· ταύτην γὰρ φρένας ὠνόμασεν. A.

2.258 365. κατανύσαι: πληρῶσαι παρὰ τὴν νύσσαν, ὅ ἐστι πρὶν λῆξιν λαβεῖν σου τὰς προσφιλεῖς φρένας. A.B. καταλῦσαι φρενῶν: στερηθῆναι. M.

2.259 367. ὦ πόνοι: ἐν οἷς τρέφονται οἱ βροτοὶ, ἐπεὶ ἐν πόνῳ διαντλοῦμεν. A.B.M. οἱ σύντροφοι ὄντες τοῖς βροτοῖς. B.

2.260 369. τίς σε παναμέριος: τίς ἄρα σε χρόνος καὶ ποῖος ἐκ πασῶν 1. ἐκπλαγεὶς] ἐκπλαγεὶς δὲ A. in ib. τὸ] τὸ σχῆμα A. quo praecedunt verba nunc in fine 11. ἀπαρτίσαι Matth. pro ἀναρτῆσαι. scholii posita οἰκειότατα μέσον—διάνοιαν. 12. μὴ A. μήτε B.I. 3. οἰκεῖον (οἰκείως B.) ἐν λυπουμένοις ib. ἀπόρρητα A.B. Fl. 6. 15. ἄρρητα A.B. Fl. 6. 15. οἰκείως ὡς λυπημένης I. 18. Lemma κατανύσαι addidi. In 4. ἀποτελεῖ] ἀποτελεῖται A. A. haec cum scholio superiore cohaerent ib. διαφόροις τε ῥήμασιν] διαφ°ˀ — τὴν σὴν φιλίαν. τὸ γὰρ (cum compendio) τὲ ῥήματα A. καταλύσαι ὅ ἐστιν π.—νύσσαν πρὶν 5. ἦθος] ἔθος A. λῆξιν—φρένας. 7. τῆς τυράννου ante τὰ ἀνήκουστα 21. ἐν πόνῳ A.M. ἐπιπόνως B. A.B., post πάθη I. ib. διαντλοῦμεν] διατελοῦσι M. 10. οἰκειότατα A.B. οἰκειότητα I. 23. τίς σε—ποῖος om. M. ib. δὲ om. A. ib. καὶ ποῖος add. A. B. Fl. 6. 15. ib. μέσον] μέσου I. om. I. ib. κατεπάγει] ἐπάγει A. τῶν ἡμερῶν οὗτος ἐξεδέχετο, ἐν ᾧ τὰ τοῦ ἔρωτος νοήσασα ἐξέφηνας. παναμέριος δὲ ὁ ἐκ πασῶν τῶν ἡμερῶν εἰς ταύτην συναφθείς. ἢ οὕτως, ἐκ τίνος ἄρα χρόνου καὶ ποίας αἰτίας αὕτη ἡ δυστυχὴς ἡμέρα ἐξεδέχετό σε.

2.261 370. τελευτήσεται: πληρωθήσεται. Fl. 2.

2.262 371. ἄσημα: ἄδηλα. M.

2.263

οἷ φθίνει: ὅπου ἀποβήσεται. M. διεφθάρης ἐρωτικῷ πάθει. ἀποφαντικῶς. ὃ μέλλει τελειοῦν ἡ τύχη τῆς Κύπριδος. τὸ γὰρ οἷ φθίνει ὅπου χωρεῖ καὶ τέλος ἴσχει, ἀποβαίνει. B.

2.264 372. Κρησία: Κρητικὴ οὖσα καθ̓ ὃ θυγάτηρ Μίνωος τοῦ Κρητός. B. Fl. 15.

2.265 373. Τροιζήνιαι γυναῖκες: ἔσχατον γάρ ἐστι μέρος τῆς Πελοποννήσου ἡ Τροιζὴν παρὰ θάλατταν καταντικρὺ τῆς Ἀττικῆς κειμένη. ἤδη δὲ λοιπὸν ἐγνωσμένου τοῦ πάθους ἀφεμένη τῶν ὑπ̓ αἰδοῦς αἰνιγματωδῶν διανοιῶν ἀπολογεῖσθαι διαρρήδην ἄρχεται, ὡς κατὰ φύσιν νοήσασα τὸν ἔρωτα καὶ βουλομένη ἐγκρατῶς ἑαυτὴν ἀνελεῖν. οἰκείως δὲ τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται. A.B.I.

2.266 374. προνώπιον: τὸ κατὰ πρόσωπον κείμενον. M. πρόθυρον. κατὰ γὰρ τῆς Πελοποννήσου ἐστὶν ἡ Τροιζὴν πρὸς ἀνατολάς.

2.267 375. ἤδη ποτ̓ ἄλλως: πολλάκις, φησὶ, διαγρυπνήσασα ἐν νυκτὶ ἐσκόπησα πῶς διέφθαρται ὁ ἀνθρώπινος βίος, ἆρα ἐκ φύσεως ἐχόντων τῶν ἀνθρώπων τὸ ἁμαρτάνειν, ἢ ἐκ ῥᾳθυμίας. καὶ κρίνασα ἔγνων 1. οὗτος om. M. In A. etiam gl. ib. τῆς Ἀττικῆς] ταῖς ἀττικαῖς I. interl. ποῖός σε χρόνος ἐκ πασῶν ἡμερῶν 14. ἤδη A.B. ἥδε I. ib. Inter literas ἔγνω et ἀφιεμένη οὗτος διεδέχετο. ib. ἐν om. I. (nam sic codex) in A. decem fere ib. νοήσασα] Conf. lin. 16. literarum spatium. ib. ἐξέφηνας] ἐξέφηνεν M. ib. ὑπ̓ ] ἐπ̓ I. 2. εἰς ταύτην om. M. 18. προνώπιον] δὲ add. B.I. ib. ἢ οὕτως —ἐξεδέχετο σε om. A. ib. κατὰ] ἐντὸς Fl. 15. 3. αἰτίας B. M. Fl. 6. 15. ἡμέρας 19. γὰρ om. M. ib, τῆς πελοποννήσου (vel —πονήσου) 8. ὃ—ἀποβαίνει] Haec etiam in A. A.M. Fl. 15. τὴν πελοπόννησον B.I. 10. Κρητικὴ] δὲ add. B., omisso ib. Τροιζὴν] τροίζην Fl.15. τροίζηνα lemmate Κρησία. B.I. τροιζηνία M. 12. ἐστι add. A. 20. ἐν] τῇ A. ib. Πηλοποννήσου] πελοπονήσου I. ut 21. ἆρα] ἄρα B.I. ut p. 117, 8. p. 81, 2. et infra lin. 19. ib. ἐχόντων] ἔχων A. 13. τροιζὴν κατὰ (scripsi παρὰ) A. 22. τῶν add. B. τροιζηνία περὶ B.I. ib. ἀνθρώπων om. A. ib. θάλατταν] θάλασσαν B. ὅτι οὐκ ἐκ φύσεως πρόσεστιν ἡμῖν ἡ κακία. καὶ ἐκ τούτου δῆλον ὅτι τὰ φυσικὰ πάντα καθόλου πᾶσι παρέπεται, οἷον τὸ γελαστικὸν, τὸ ὑπνοῦν καὶ τὰ ὅμοια, πτύειν, τὸ διαχωρίζειν, καὶ οὐκ ἄν τινα εὕροις χωρὶς τούτων. εἰ δὲ εὑρίσκεις παρὰ πολλοῖς ἀνθρώποις τὸ εὖ φρονεῖν καὶ δικαιοπραγεῖν, δῆλον ὅτι οὐ φύσει πρόσεστιν ἡμῖν τὸ φαῦλον· οὐ γὰρ ἂν ηὑρίσκοντο πολλοὶ καὶ ἀγαθοί. Ἄλλως. χωρὶς νόσου τυγχάνουσα δηλονότι. πιθανῶς δὲ ἐν νυκτί φησιν ἐνθυμηθῆναι, ὁπότε πάσης τῆς τῶν αἰσθήσεων ἀπηλλαγμένη ὀχλήσεως ἡ ψυχὴ φιλοσοφωτέροις ἐγκαταγίνεται ζητήμασι. πιθανῶς δὲ καὶ τὸ ἠρέμα νοσηλευομένην αὐτὴν ἐνθυμεῖσθαι τοιαῦτα. παρὰ γὰρ τὰς συμφορὰς γνωμικώτεροι γινόμεθα, τῆς φύσεως ἡμᾶς διὰ τοῦ πάθους ἐκπαιδευούσης.

2.268 377. καί μοι δοκοῦσιν: οὐκ ἀγνοίᾳ μοι δοκοῦσιν οἱ ἄνθρωποι ἐκπίπτειν εἰς τὰ ἁμαρτήματα, ὅπου γε πολλοὶ καὶ εὖ φρονοῦντες καὶ αἰσθανόμενοι κακῶν τε καὶ ἀγαθῶν ἐκπίπτουσιν εἰς τὸ κακόν. ἐπειδὴ τοίνυν οὐκ ἀγνοίᾳ, ἀλλὰ γινώσκοντες ἁμαρτάνομεν, ταύτῃ σκοπητέον τοῦ βίου τὴν λύμην τίς ἐστιν. γνώμης: τῆς γνώσεως. οὐχ ἁμαρτίᾳ δὲ τῆς γνωμικῆς φύσεως ἁμαρτάνουσιν, ὅπου γε πολλοὶ αἰσθανόμενοι τὸ ἀγαθὸν προκρίνουσιν αὐτοῦ τὸ κακόν.

2.269 οὐ κατὰ γνώμης φύσιν: ἀντὶ τοῦ οὐ κατὰ τρόπον φύσεως. A. οὐκ ἀπὸ ἰδίου νοός. B. ἤγουν ἀπὸ φύσεως τὸ πράσσειν. Fl. 2.

2.270 378. τό γ̓ εὖ φρονεῖν: τὸ σωφρονεῖν. Fl. 15.

2.272 380. τὰ χρήστ̓ ἐπιστάμεσθα: δεῖξαι βούλεται τοῦτο, ὅτι οὐκ 2. τὰ om. A. 9. καὶ τὸ] τὸ καὶ A. ib. καθόλου add. A.B. Fl. 6. 15. 10. παρὰ A. τότε B.I. In Fl. 6. 3. ὑπνοῦν καὶ τὰ ὅμοια om. A. 15. est παρὰ γὰρ ἀμφοτέρων γνωμικώτεροι ib. πτύειν add. A. γινόμεθα παρὰ φύσεως ἡμᾶς διὰ τὸ ib. τὸ διαχωρίζειν add. A. Fl. 6, πάθος ἐκπ. 15. ib. τὰς συμφορὰς add. A. 4. παρὰ A.B. Fl. 6. 15. περὶ I. 11. τοῦ om. A. 5. δῆλον ὅτι] δηλονότι l. 13. ἀγνοίᾳ] ἄνοίᾳ, A. ib. οὐ om. A. 14. ἐκπίπτειν] ἐμπίπτειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

M. 6. ηὑρίσκοντο A.B. εὑρίσκοντο I. 15. εἰς τὸ] ἔχοντες M. Quae post ib. Ἄλλως A. ἤδη ποτ᾽ ἄλλως B. et κακόν sequuntur om. M. praefixo Ἄλλως l. 16. ἀλλὰ om. A. 7. δηλονότι om. A. 17. τίς] τί I. 8. πάσης] πάσχει I. 18. ἁμαρτάνουσιν add. A. ib. ἀπηλλαγμένη ὀχλήσεως] ἀπηλλαγμένης 23. τοῦτο add. A. Fl. 6. 15., om. αἰσθήσεως I. ἀγνοίᾳ τοῦ καλοῦ τὸ κακὸν πράττομεν. ἅτινα μὲν οὖν χρηστὰ καὶ χρήσιμα τῷ βίῳ καθέστηκεν ἴσμεν, ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν, διαφόροις ἡδοναῖς ἡττώμενοι. ἀπό τινος γὰρ ἀργίας καὶ ὄκνου τοῦ ἐκπονεῖν τὰ καλὰ τὰ κακὰ μετέρχονται. ὅσῳ γὰρ δυσάλωτός ἐστιν ἡ ἀρετή, τοσούτῳ ἡ κακία εὐάλωτος. καὶ Ἡσίοδος “τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι, τῆς δ̓ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.” .

2.272 381. οὐκ ἐκπονοῦμεν: οὐ τελειοῦμεν. M.

2.273 382. οἱ δ̓ ἡδονὴν προθέντες: καλῶς τὰς αἰσχρὰς ἡδονὰς ἀπεσιώπησεν, ὡς ἤδη διὰ τούτων κἀκείνας σημάνασα· αὗται γὰρ ἐκείνων εἰσὶ τικτικαί. σχολὴ γὰρ καὶ ὁμιλία περισσὴ πεφύκασιν εἰς ἀπορρήτους ἡδονὰς προκαλεῖσθαι τὴν φύσιν. οὐ γὰρ δὴ μία, ἀλλὰ διάφοροι ἡδοναί εἰσιν. εἶτα μεταξὺ διηγεῖται τὰς ἀρχὰς τῶν κακῶν. A.B.l.

2.274 προθέντες: ἀντὶ τοῦ προτιμήσαντες. A.B.M. Fl. 15. οὐ γὰρ μία ἡ ἡδονή, ἀλλὰ διάφοροι. M.

2.275 384. λέσχαι: πολυλογίαι. M. ὁμιλίαι, ἀπραγία, ῥαθυμία. A. ὁμιλίαι. καὶ σχολὴ ῥᾳθυμία, ἀεργία. ἡ σχολή, φησὶν, ἡδεῖα μὲν τῇ ἀναπαύσει, ἐπιβλαβὴς δὲ τῷ ἐπιζημίῳ καὶ ἀργῷ τοῦ σώματος, διὸ καὶ τερπνὸν κακὸν αὐτὴν εἶπεν. A.B.I. ματαιοποιῶν ἀνθρώπων. B.

2.276 385. αἰδώς: ταῖς αἰσχραῖς ἡδοναῖς συγκατηρίθμησε τὴν αἰσχρὰν αἰδώ· διαφθείρει γὰρ τοὺς κεκτημένους, ὥσπερ κἀκεῖναι τοὺς ἐμπιστεύσαντας αὐταῖς ἑαυτοὺς ἀπολλύουσιν.

2.277 386. ἡ δ̓ ἄχθος οἴκων: τί φῄς, Εὐριπίδη, κακὴ ἡ αἰδώς, 1. καλοῦ] κακοῦ I. 13. εἶτα] καὶ σχολὴ τερπνόν lemma 3. ἀπό τινος γὰρ ἀ.] οἱ μὲν ἀπό praefixum in A. 15. ἀντὶ τοῦ om. A.B.M. τινος ἀ. A. 4. μετέρχονται A. μετέρχεται Fl. 6. 17. ὁμιλία—ἀεργία om. A. 15. μετερχόμεθα B.I. 18. ἡ σχολή, φησὶν, ἡδεῖα] ἡδονῶν. 5. τοσούτῳ] τοσοῦτον I. ἄλλως. σχολὴ ἢ ἡδεῖα A. ib. Ἡσίοδος] Op. 285. 20. αὐτὴν add. A. ib. μὲν γὰρ] μέντοι A. 24. αὐταῖς ἑαυτοὺς (αὑτοὺς I.)] 6. τῆς δ̓—ἔθηκαν om. A. 11. τικτικαὶ] τικτηκαὶ A. τεκτικαὶ αὐτ A. Fl. 6. In M. scholion totum obliteratum. ib. ἀπολλύουσιν] ἀπολύουσιν I. ὀλόουσιν A. 12. γὰρ A.B. Fl. 6. δὲ I. 25. ἡ αἰδώς] ἡ om. A. φησὶν, ἔσθ̓ ὅτε κακή· δισσαὶ γὰρ αἱ αἰδοί. εἰ δὲ ᾔδειμεν εὐκαίρως αἰδεῖσθαι, οὐκ ἂν δύο ἦσαν ἑνὶ ὀνόματι καλούμεναι. ἴσως δὲ τὸ Ὁμηρικὸν ἀνέγνω Εὐριπίδης “ἥτ᾽ἄνδρας μέγα σίνεται, ἠδ̓ ὀνίνησι.” Ἄλλως. ἐπεί φησιν ὁ Ὅμηρος μίαν μὲν εἶναι τὴν αἰδῶ, δισσὴν δὲ δύναμιν ἔχειν, “Αἰδὼς, ἥτ᾽ἄνδρας μέγα σίνεται ἠδ̓ ὀνίνησι.” τὴν διαφωνίαν ἰώμενός φησιν ὅτι τῆς αἰδοῦς ἡ ἄγνοια παρὰ τὴν ἡμετέραν γίνεται ἄνοιαν· ἡμεῖς γὰρ οὐ κατὰ καιρὸν αὐτῇ χρώμενοι διπλῆν ἡγούμεθα τὴν μίαν. ἔδει γὰρ τὴν εὐκαίρως γινομένην μόνην ὀνομάζειν αἰδώ. τὸ δὲ “ταὔτ᾽ ἔχοντε γράμματα” οἷον ἑνὶ ὀνόματι καὶ τόνῳ καὶ φθόγγῳ προσαγορευομένας. A.B.I. τὴν αὐτὴν ὁμωνυμίαν. M.

2.278 σαφής: ἀκριβὴς, φανερός. M. ἐὰν δὲ ἐγινώσκομεν τὴν διαφοράν. B.

2.279 388. φρονοῦσ̓ ἐγώ: τὴν ἀσχημοσύνην φρονοῦσα. M.

2.280 ταῦτ᾽οὖν ἐπειδή: ἐπειδή τοίνυν τὴν φύσιν ἑκάστου πράγματος ἐτύγχανον γινώσκουσα, καὶ πόθεν οἱ ἄνθρωποι τὸν βίον ἑαυτῶν διαφθείρουσιν, ἐνόμιζον τοῦτο, ὅτι οὐκ ἔστι μοι οὐδεμία πρόφασις οὕτως ἰσχυρὰ, οὐδὲ δέλεαρ τοιοῦτον, ὅπερ ἐκ τῶν φρενῶν καὶ τῆς τοσαύτης σωφροσύνης μεταστήσειέ με εἰς πορνείαν. οὐκ ἀπεικότως δὲ τοῦτό φησιν, ἀλλὰ πρὸς πλείονα δεῖξιν τοῦ μὴ μόνον κατὰ φύσιν, ἀλλὰ καὶ παῤ ἐλπίδα νοσεῖν ἔρωτα.

2.281

Eulogikon public reading copy · View original HTML at eulogikon.org

389. οὐκ ἔσθ̓ ὁποίῳ φαρμάκῳ: οὐκ ἔστι φάρμακον δηλονότι ὁποίῳ φθαρῆναι ἐδόκουν. οὐκοῦν ἰσχυρὸν δέλεαρ, ὅπερ ἔμελλε μεταβάλλειν τὴν σωφροσύνην. Fl. 6. 15.

2.282 φαρμάκῳ: τρόπῳ. B. προφάσει. B. rec.

2.283 διαφθερεῖν: τὴν σωφροσύνην. B. rec.

2.284 390. ἔμελλον: ἤλπιζον. B. τοὔμπαλιν: τὸ ἐναντίον. M.

2.285 391. ὁδόν: σκοπόν. B.

2.286 392. ἐπεί μ᾽ἔρως ἔτρωσεν: ὅτι λοιπὸν καταστατικώτερον αὐτὴν τὴν διοίκησιν τῆς νόσου διηγεῖται. ἠρξάμην μὲν οὖν, φησὶν, ἐκ τοῦδε σιγᾶν, ἵνα διὰ τῆς ἡσυχίας λήθη μοι γένηται. B.I.

2.287 395. γλώσσῃ γάρ: ἔοικε τὸ συμβαῖνον ἐκ τῆς γλώσσης δἰ ἄλλων προτεθεικέναι, καθὸ πολλῶν τοῖς ἀκούουσιν ἀπίστων γινομένων αὕτη τῆς προδοσίας αἰτία νομίζεται. ἄμεινον, φησὶν, ἡγησάμην τὸ σιωπᾶν, εὐλαβουμένη μὴ γλῶσσαν κτήσωμαι σύμβολον, λόγῳ μὲν ἐπαινοῦσαν τὰς ἀρετὰς, ἔργῳ δὲ ἀκόλαστον. δάκνει γὰρ τὸ παραινούμενον σύμβολον, ὅταν τις ἕτερον μὲν κεύθῃ ἐνὶ φρενὶ, ἄλλο δ̓ εἴπῃ. ἄνοιαν δὲ τὴν πορνείαν καλεῖ, ἐπεὶ καὶ τὸ ἐναντίον σωφροσύνη καλεῖται, ἐν ᾗ σώζομεν τὰς φρένας.

2.288 396. νουθετεῖν: ὑβρίζειν. B.

2.289 398. τὴν ἄνοιαν: τὸν ἔρωτα. M.

2.290 399. τῷ σωφρονεῖν: προενοησάμην τὴν ἔκκρουσιν τοῦ νοὸς νικῶσα διὰ τῆς σωφροσύνης. B. νικῶσα: αὐτήν. B.

2.291 400. τρίτον δ̓ ἐπειδή: ἐπειδὴ τοῖς δυσὶ τρόποις οὐδὲν ἤνυον πρὸς ἐγκράτειαν τοῦ ἔρωτος, οὔτε τῇ σιωπῇ, οὔτε τῇ σωφροσύνῃ, ἔδοξέ μοι ἀποθανεῖν.

2.292 402. οὐδεὶς ἀντερεῖ: ὡς οὐ καλῶς βουλευθεῖσιν ἐν οἷς ἐσκεψάμην ἢ σιωπᾶν καὶ σωφρονεῖν, ἢ ἀποθανεῖν.

2.293 405. τὴν νόσον: τὸν ἔρωτα. M.

2.294 406. γυνή: τὸ ἑξῆς, τοῖσδε δὲ οὖσα γυνὴ προσῄδειν τὴν νόσον ταύτην δυσκλεᾶ, καὶ τὸ ἔργον τῆς πορνείας μίσημα ὂν παρὰ πᾶσι. 2. ἐκ τοῦδε] B. FI.6. 15. ἐντεῦθεν I. 9. ὅταν τις—φρένας om. A. 4. Scholion in M. obliteratum ib. μὲν add. A. Alludit ad verba ita ut ultima tantum verba σώζομεν Homeri Il. 9, 313. τὰς φρένας legi possint. 16. δυσὶ] δύο A. β I. ib. γλώσσης A.B. γλώττης I. ἐκ τῆς 18. μοι] τὸ A. γ. post συμβαῖνον in A. 19. οὐδεῖς ἀντερεῖ—ἐσκεψάμην A. 5. πολλῶν τοῖς ἀκούουσιν] πολλὰ τῶν In B.I. haec scholio praecedenti ἀκουόντων A. sunt adjuncta hunc in modum, καὶ 6. αἰτία] αἰτίων (sic) A. οὐδεὶς ἀντιλέξει τοῖς βουλευθεῖσιν ὡς οὐ 7. τὸ σιωπᾶν] τεὸ πᾶν A. καλῶς ἐσκεψάμην—. ib. γλῶσσαν κτήσωμαι] γλῶτταν 20. ἢ σιωπᾶν] ἢ om. A. 22. τοῖσδε] πρὸς τοῖσδε Barnesius. κτήσομαι A. ib. σύμβολον B.I. σύμβουλον A. hic ib. δὲ add. A. ib. προσῄδειν] προῄδειν Barnesius. et mox iterum. 8. ἐπαινοῦσαν A. ἐπινοοῦσαν B. ἐπινοοῦσα 23. δυσκλεᾶ] δυσκλεῆ A. ib. τῆς] ὡς A. I. τὸ δὲ γυνὴ οὖσα, ἐπειδὴ μάλιστα αἱ γυναῖκες μισεῖν ὀφείλουσι τὴν πορνείαν, αἱ μὲν δἰ αὐτὴν μεμισημέναι ἀνδράσι τε καὶ γυναιξὶν, αἱ δὲ φεύγουσαι τὴν ἐξ αὐτῆς αἰσχύνην. Ἄλλως. καὶ τοῦτο οὐχ ἁπλῇ γνώσει ἔξωθεν ἠπιστάμην, ἀλλὰ καὶ γυνὴ πεφυκυῖα ἀκριβῶς εἶχον τοῦ μίσους τούτου τὴν γνῶσιν, ὥστε καὶ μέχρι τοῦ νῦν, ἤτοι μέχρι τοῦ νοσῆσαι καὶ νικηθῆναι τῷ πάθει, ἡδέως ἂν κατηρασάμην τῇ πρώτῃ πορνευσάσῃ. Ἄλλως. μίσημα πᾶσι: ἀκριβῶς ἔγνω ὁ Εὐριπίδης τὴν ῥίζαν τῆς πορνείας ἄνωθεν ἐξ εὐγενίδων συστᾶσαν τὸ ἐξαπλοῦσθαι εἰς πολλὰς τὸ κακόν. εἰ γὰρ ἐβεβλαστήκει ἐξ εὐτελῶν, ταχέως ἂν ἐξεκέκοπτο, καὶ οὐκ ἐζηλοῦτο.

2.295 408. ἥτις πρὸς ἄνδρα: Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ τῷ περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν λέγει εἶναι τὰς πρῶτον πορνευσάσας θυγατέρας τοῦ Εὐρυπύλου, οὐ τοῦ Κῴου,

ἀλλὰ ἄλλου τινός. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν Μορφὴ καὶ Κλυτή. ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο, ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας, οὐ μόνον ἐκ τοῦ ὑπερτρυφᾶν, ὅπερ τὸν ἔρωτα προκαλεῖται, ἀλλὰ καὶ ἐκ τοῦ ἐπιζηλωθῆναι τὸ ἁμάρτημα ἐξ εὐγενοῦς τινος γενόμενον.

2.296 409. θυραίους: ξένους. B.

2.297 γενναίων: εὐγενῶν. B.

2.298 411. ὅταν γὰρ αἰσχρά: ἐστοχάσατο τὸ τοιοῦτον οὐ μόνον ἀπὸ τῆς κολακείας. ἀλλὰ καὶ ἐκ τῆς τῶν ἁμαρτανόντων ἀξιοπιστίας. ὅταν γὰρ, φησὶν, αἰσχρὰ ποιῶσιν αἱ βέλτισται, πάντως αἱ εὐτελεῖς μιμοῦνται καὶ ἀκολουθοῦσιν ἐκείναις. εἰ γὰρ τοῖς ἀγαθοῖς τὰ αἰσχρὰ 3. Ἄλλως] ἐγίγνωσκον A. 13. τοῦ ante E. addidi ex A. 5. μίσους] πάθους A. ib. οὐ τοῦ] τοῦ οὐ A. ib. ἤτοι—πάθει] εἴ τινος οὖσα νικωμένη 17. ἐπιζηλωθῆναι] μὴ ἐπιζηλωθῆναι τῷ μίσει A. Heathius: recte, si εὐτελοῦς servetur 6. ἂν om. A. cum B.I. pro quo εὐγενοῦς restitui ib. κατηρασάμην] καταρασαίμην A. ex A. 8. εὐγενίδων] εὐγεινίδων A. ἐρίδων ib. τινὸς γενόμενον] τινὸς γινόμενον BI. B.I. προσγενόμενον A. ib. συστᾶσαν A. B. συστῶσαν Fl. 19. Hoc scholion proximumque 6. 15. I. fuerunt in M., sed legi nunc non 9. πολλὰς] πολὺν I. possunt. ib. ἐξ εὐτελῶν] ἐκ κακῶν A. 23. φησὶν add. A. 12. τὰς —πορνευσάσας] τοῦ—πορνευούσας 24. μιμοῦνται] μιμῶνται A. A. ib. ἐκείναις] ἐκείνας A. νομίζεται καλὰ, πολλῷ μᾶλλον τοῖς κακοῖς. A.B.M.I. ἐσθλοῖς τοῖς εὐγενέσι καὶ λαμπροῖς, κακοῖς δὲ τοῖς εὐτελέσι. B.

2.299 412. κάρτα: ἰσχυρά. B. κακοῖς: ἀγενέσιν. B.

2.300 413. μισῶ δὲ καὶ τὰς σώφρονας: μισῶ δὲ καὶ τὰς λόγῳ μὲν τὴν σωφροσύνην μετιούσας, ἔργω δὲ τὰ κακὰ πραττούσας. A.B.

2.301 415. αἳ πῶς ποτ᾽: πῶς οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων τὸν παρὰ φύσιν ἔλεγχον δεδοίκασι; αἵτινες ἄρα πῶς τολμῶσιν ὁρᾶν τοὺς ἄνδρας: μονονουχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων παρὰ φύσιν ἔχειν δεδοκυίας τὴν νύκτα· θεὸς γὰρ οὖσα θεοῖς ἀνάκειται.

2.302 418. τέρεμνα: τὰ στέγη τῶν οἴκων. M. στέγη, τείχη. B.

2.303 419. τοῦτ᾽: τὸ σωφρονεῖν. B.

2.304 424. δουλοῖ: ταπεινοῖ, ἀπαρρησίαστον ποιεῖ. B. τὰ κακὰ τῆς μητρός. B.

2.305 426. μόνον δὲ τοῦτο: ἀλλ̓ ὁ βίος ἥδεται τοῖς πονηροῖς. ὡς Μένανδρος "πράττει δ̓ ὁ κόλαξ ἄριστα πάντων, δεύτερος συκοφάντης, ὁ κακοήθης τρίτος λέγεται." παλαίει οὖν τῷ βίῳ καὶ ἁμιλλᾶται, ὅστις βούλοιτο δικαιοπραγεῖν, τῷ διαφωνεῖν πρὸς τὴν κοινὴν πολιτείαν. ἢ ἐπειδὴ οἱ φαῦλοι, ὅταν περὶ δικαιοπραγοῦς τινος ἀκούωσι, ζητοῦσι παντὶ τρόπῳ ὑποσκελίσαι αὐτόν. παλαίει οὖν τοῖς φαύλοις ὁ ἀγαθός. Ἄλλως. μόνον τοῦτο νικᾷ, φησὶ, τὸν βίον, καὶ οὐ καλύπτεται ὑπ̓ αὐτοῦ, ἀλλὰ καὶ μετὰ θάνατον λάμπει τὸ τῆς σωφροσύνης. τοὺς γὰρ ἀκολάστους ἐλέγχει καὶ δειγματίζει ὁ χρόνος, ὡς καὶ παρθένον κάτοπτρον, ὥστε δεῖ με μὴ τοῦ παρόντος μόνον ἀντιποιήσασθαι, ἀλλὰ 6. πῶς οὐχὶ—δεδοίκασι om. A.B.: scripto πολιτείαν, A. habet M. etsi in hoc pauca tantum 18. ἐπειδὴ] ἐπεὶ A. totius scholii verba legi possunt. ib. δικαιοπραγοῦς τινος] δικαιοπραγίας Lemma in l. αἵτινες ἄρα. Fl. 15. 7. αἵ τινες ἄρα (ἆρα A.) add. A.B. ib. ἀκούωσι A. ἀκούσωσι B.I. 8. δεδοικυίας A. δεδωκυίας B.I. Fl. ib. ζητοῦσι] ζητοῦσιν αὐτῷ A., J 5. Heathius conjecit παρὰ φύσιν omisso proximo αὐτόν. ἔλεγχον δεδοικυῖαι τὴν νύκτα. 20. νικᾷ, φησὶ] φησὶ νικᾷ A. 9. τὴν νύκτα] τέκνα Fl. 15. ib. καὶ (καὶ om. I.) οὐ καλύπτεται 14. ἀλλ̓ add. A. ὑπ̓ αὐτοῦ] καὶ οὐκ ἀποκαλύπτεται τῷ 16. τρίτος λέγεται A. τρίτατος, βίῳ A. sine λέγεται, B.I. Recte ap. Stob. 21. καὶ add. A. Flor. 106, 8. δεύτερα ὁ συκοφάντης, 22. χρόνος—παρθένον] χορὸς —παρθένων ὁ κακοήθης τρίτα λέγει. A. ib. ὅστις] ὅσα A. 23. μὴ τοῦ] μήτε A. 17. πολιτείαν] σωτηρίαν, super- ib. παρόντος] παρελθόντος Fl. 15. καὶ τοῦ μετ᾽αὐτόν. Ἄλλως. μόνον δὲ τοῦτό

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασι συγκαταστρέφειν καὶ συναπόλλυσθαι τῷ βίῳ, τὸ κεκτῆσθαι διάνοιαν ἀγαθὴν, ὡς εἰ ἔλεγεν ὅτι ἀθάνατόν τέ ἐστι καὶ εἰς ὅλον τὸν βίον μνημονεύεται. δεῖ με οὖν μὴ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοήσασθαι, εἰδυῖαν ὅτι ὥσπερ τοὺς ἀγαθοὺς ἐπιβεβαιοῖ, οὕτω καὶ τοὺς πονηροὺς ἐλέγχει ὁ χρόνος. κατόπτρῳ δὲ παρείκασε τὰ ἐν τῷ προϊόντι χρόνῳ φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτηθέντων, καθὸ παρελθόντων τῶν ἔργων αὐτῶν, ὥσπερ ἐν κατόπτρῳ τεκμήρια καὶ σκιὰς τῶν παλαιῶν αὐτῶν ὁρῶμεν ἁμαρτημάτων. A.B.I. ἁμιλλᾶσθαι: ὑπερνικᾶν. A. ἀγωνίζεσθαι. B. μὴ νικᾶσθαι ὑπὸ τοῦ χρόνου. B. ἐξισοῦσθαι. Fl. 2.

2.306 427. γνώμην δικαίαν: θαυμασίως ἄγαν ἀπολύτως ἐχρήσατο. ὅτῳ παρῇ: οὐ διαστολὴν ἐπιδεχομένου πλουσίου καὶ πένητος, ἢ εὐγενοῦς καὶ εὐτελοῦς, ἀλλὰ καθολικωτέρου ὑπάρχοντος ἐπὶ πάντων.

2.307 428. κακοὺς δὲ θνητῶν: τινὲς οὕτως τὸ ἑξῆς, τοὺς κακοὺς τῶν θνητῶν ἐλέγχει ὁ χρόνος, ὅταν τύχῃ προθεὶς τὸ κάτοπτρον ὡς παρθένῳ νέᾳ, τουτέστιν ὅταν τύχῃ ἐλέγχων καὶ φανεροποιῶν αὐτούς. ἐξέφην᾽: ὁ χρόνος εἰς φῶς ἐξῆξεν. B. ὅ ἐστιν ἐν τῷ ζῆν ὑπὸ τοῦ χρόνου φανεροῦται. B.

2.308 431. ἁπανταχοῦ: καὶ εἰς τοὺς εὐγενεῖς καὶ τοὺς ἀγεννεῖς. B.

2.309 432. καρπίζεται: καρπὸν φέρει. B.

2.310 433. συμφορά: τὸ σύμβαμα. B.

2.311 δέσποιν᾽, ἐμοί τοι συμφορά: ἐμοὶ, φησὶν, ἀρτίως ἡ σὴ συμφορὰ ἀγγελθεῖσα δεινὸν φόβον ἐνέβαλεν. Ἄλλως. καλῶς ἐμιμήσατο τῶν 1. συναπόλυσθαι (sic codex) τῷ βίῳ ἁμαρτημάτων, ὥσπερ ἐν κατόπτρῳ τεκμήρια addidi ex A. Verba μόνον δὲ τοῦτο in ὁρῶμεν τῆς ἀληθείας. lermmate habet I., omisso Ἄλλως. 9. ὁρῶμεν post ἁμαρτημάτων A. 3. ὅτι om. A. 12. Ἄλλως praefixum in B.I. 15. οὕτως om. A. ib. εἰς] ὡς I. ib. μνημονεύεται] ἀναμνηονεύεται 16. χρόνος] χορὸς A. ib. προθεὶς] προσθεὶς A. 4. με (μὲν 1.) οὖν] οὖν με A. ib. παρθένῳ νέᾳ A. τῇ νέᾳ παρθένῳ 5. εἰδυῖαν] εἰδυῖα I. B.M.I. ib. οὕτω καὶ] τοσούτω A. 17. αὐτούς hic A., post τύχῃ B.I. 6. ὁ χρόνος om. A. In M. haec legi non possunt. 7."/> τεκμήρια—κατόπτρῳ om. A., 18. ἐξῆξεν] ἐξήλξεν (sic) B. shabet scholion separatum, προθεὶς 23. σὴ om. A. κάτοπτρον: εἰκάζει τὰ ἐν τῷ χρόνῳ 24. τῶν γραιῶν (sic codex) τὸ A. παριόντι φαινόμενα τεκμήρια τῶν πρὶν τὸ τῶν γραῶν B.I. γραῶν τὸ παλίμβολον· ὑπερφοβοῦνται γὰρ καὶ θρασύνονται ταῖς συμφοραῖς. A.B.I.

2.312 παρέσχε: ἐνέβαλλεν ἐμέ. B.

2.313 435. νῦν δ᾽ ἐννοοῦμαι φαῦλος οὖσα: ἀντὶ τοῦ μωρὰ οὖσα. νῦν δὲ δεύτερον εἰ καὶ εὐτελής τίς εἰμι, ἐνεθυμήθην, καὶ καλῶς γὰρ, ὅτι ἀνθρώποις αἱ δεύτεραι τῶν ἄλλων τῶν πρώτων εἰσὶ χρησιμώτεραι. A. νῦν δ᾽ ἐννοοῦμαι: εἰ καὶ εὐτελὴς, φησὶ, τυγχάνω τὴν γνώμην, καὶ οὐκ ἀπ᾽ ἐμαυτῆς ὀφείλουσα στοχάζεσθαι, ὅμως εὗρον ὅτι παρὰ πᾶσιν ἀνθρώποις ἀκριβέστεραί εἰσιν αἱ ἐπισκέψεις καὶ αἱ δεύτεραι γνῶμαι.

2.314 437. οὐ γὰρ περισσόν: παράλογον, παράδοξον. A.B. οὐδὲν, φησὶν, ἔπαθες περισσὸν ὧν πάσχουσι πάντες. τοῦτο δὲ πρὸς παραμυθίαν, ὡς μὴ νοσούσης αὐτῆς ἐξ ἰδίας φύσεως τὸν ἔρωτα. μὴ οὖν, φησὶ, διεργάσῃ σαυτὴν, ἀλλὰ συγγίνωσκε τῷ πάθει βιαζομένη παρὰ τοῦ κρείσσονος, ἄλλως τε καὶ τῶν πολλῶν ἐκ φύσεως αὐτὸ νοσούντων.

2.315 438. ὀργαί: ἀγανακτήσεις. M. ἀπέσκηψαν: ἐπῆλθον. B.

2.316 439. θαῦμα: παράξενον. B.

2.317 441. οὔ τἄρα γ᾽ οὐ δεῖ τοῖς ἐρῶσι: τοῦτο ἐκ τοῦ καθολικωτέρου, ὄντως οὐ λυσιτελεῖ, οὐ χρὴ, οὐ συμφέρει, φησὶ, τοῖς τῶν πλησίον ἐρῶσι, καὶ ὅσοι μέλλουσιν ἐρᾶν, εἰ χρεὼν αὐτοῖς ἐστι τοῦ θανεῖν. A.B.I. λείπει τὸ ἐρᾶν. ὁ δὲ λόγος, οὔτε τοῖς νῦν ἐρῶσιν οὔτε τοῖς μέλλουσιν ἐρᾶν λυσιτελεῖ τὸ ἐρᾶν, εἴπερ ἀντὶ τῶν ἐρωμένων ἀπολαύουσι θανάτου, οὐκ ἐπ᾽ ἀνύσει τοῦ ἔρωτος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ̓ ἐπὶ θανάτῳ ἐρῶντες. ἐκ τοῦ καθολικοῦ δὲ πάθους τὸ ἴδιον δυσχερὲς θεραπεύεται καὶ τῷ ἁπλουστέρῳ ὀνόματι τοῦ ἔρωτος καλύπτει τὸ αἰσχρόν. A.

2.318 442. θανεῖν αὐτούς: ἐὰν πρὸς θάνατον ἀφορῶσι. M.

2.319 443. Κύπρις γὰρ οὐ φορητός: ἐπεξηγεῖται πῶς δεῖ φέρειν πολλὴν ῥεύσασαν τὴν θεὸν ὑπείκοντα μᾶλλον· οὐδὲ γὰρ ἀνθοπλιζόμενον. οἶδε γὰρ ἄρα ὑποχωροῦσιν ὑπείκειν ἡ θεός. Ἄλλως. οὐκ ἔστι δυνατὸν βαστάσαι τὴν Κύπριν μεγάλως ἐπερχομένην, ἀλλὰ χρὴ ὑπείκειν μᾶλλον τῇ Ἀφροδίτῃ ἢ ἀντιμάχεσθαι αὐτῇ. A. B.I. πολλὴ ῥυῇ: ἐπιγένηται ῥεύσει. M. ἐπενεχθῇ. B.

2.320 444. ἡσυχῆ μετέρχεται: οὐ γὰρ θανάτῳ κολάζειν τὰς ἐπιθυμίας εἰκός. B.

2.321 446. πῶς δοκεῖς καθύβρισεν: ὅσῳ γὰρ ἀρνεῖταί τις τῆς θεοῦ τὴν δύναμιν, τοσούτῳ μᾶλλον εἰς αὐτὸν ἐπιδείκνυται τὴν ἀνδραγαθίαν. καὶ στοχάζου μοι τῆς τιμωρίας τὴν ὑπερβολήν· κρείσσων γάρ ἐστι τῆς τοῦ λόγου διηγήσεως. τοῦτο γὰρ δηλοῖ τὸ πῶς δοκεῖς.

2.322 447. φοιτᾷ δ̓ ἀν᾽αἰθέρα: ἐντεῦθεν ἄρχεται τὸ τῆς Ἀφροδίτης αὐξάνειν μέγεθος. ἐν θαλάσσῃ δὲ αὐτήν φησιν ἤτοι ἐπεὶ ὅτι ἀφρογενής ἐστιν, ἢ ἐπεὶ καὶ τὰ ἐν θαλάσσῃ ἀφροδισιάζει. καὶ ἔοικεν ἐκ τοῦ παραδόξου σεσημειωκέναι τὸ ὁμολογούμενον, φημὶ δὲ τὸ ἐπὶ γῆς εἶναι τὴν θεόν.

2.323 449. ἔρον: ἔρωτα, Αἰολικῶς. B.

2.324 451. γραφάς: ἱστορίας, ποιήματα. B.

2.325 452. ἐν μούσαις: ἐν τοῖς λόγοις τῶν γραφῶν. M. ἐν ἀναγνώσεσι. B. ἀντὶ τοῦ μέμνηνται. B.

2.326 455. ἡ καλλιφεγγής: Κέφαλος εἷς ἐστι τῶν ἐξ Ἐνδυμίωνος ἔκγονος. γαμεῖ δὲ Πρόκριν τὴν Ἀθηναίαν. ὅτι δὲ Κέφαλον ἡ Ἠὼς 2. ἐπεξηγεῖται πῶς om. I. Matth. ib. δεῖ] μέλλει τινὰ A. ib. διηγήσεως] δυνάμεως A. 3. οὐδὲ A. οὐ B.I. ib. δηλοῖ] ἐστι A. ib. γὰρ] γὰρ ἂν Fl. 6. 15. 15. δὲ om. A. 5. ἀλλὰ] ὅτι A. ib. ἤτοι ἐπεὶ A. ἤτοι ὅτι B. Fl. 6. 6. ὑπείκειν A. εἴκειν B.I. 15. ἢ ὅτι I. ib. τῇ Ἀφροδίτῃ et αὐτῇ om. A. ib. ἀφρογενής] ἀφρογενῆ I. 10. ἀρνεῖται A.B.M. ἀνεῖται I. 16. ἢ ἐπεὶ A. ἢ ὅτι ἐπειδή ceteri. ib. τῆς] τοῦ A., om. M. 17. σεσημειωκέναι A. σεσιωπηκέναι 11. δύναμιν M. δυναστείαν ceteri. ceteri. ib. εἰς αὐτὸν ἐπιδείκνυται A.B.M. ib. τὸ ὁμολογούμενον om. I. ἐπιδείκνυται εἰς αὐτὸν I. 24. ἔγγονος addit A. quod recepi 12. τιμωρίας] ἀνδραγαθίας Fl. 6. 15. in ἔκγονος mutatum. ib. κρείσσων] κρεῖσσον A. ib. γαμεῖ δὲ A. οὗτος γαμεῖ B.I. 13. τῆς τοῦ] τοῦ om. I. τῆς διὰ ib. Πρόκριν Barnes. pro Πρόκνην. ἥρπασε διὰ κάλλος καὶ Ὅμηρος εἴρηκεν. ἦν δὲ ὁ Κέφαλος Δηϊονέως παῖς.

2.327 456. ἔρωτος οὕνεκα: ταῦτα δυσωπητικῶς λέγει. ἤδη μὲν γὰρ ἐκ τοῦ μείζονος προκατεσκεύασεν, εἰποῦσα καὶ θεοὺς ἐρᾶν. λοιπὸν δὲ καὶ τὸ δύσφορον καὶ τὸ μωρὸν αὐτῆς ἐλέγχει.

2.328 457. ναίουσι κοὐ φεύγουσι: οὐκ ἀφίστανται πρὸς τοὺς οἰκείους, καὶ παραγίνονται, ἀλλὰ σὺν τοῖς θεοῖς διατρίβουσιν· ἢ ἐπὶ τῶν ἐρώντων θεῶν, καὶ οὐ φεύγουσι τὴν δίαιταν τὴν μετὰ τῶν ἄλλων θεῶν, αἰδούμενοι ὅτι ἐρῶσι. κοινὸν γὰρ κατὰ πάντων συμβαίνει τὸ τοῦ ἔρωτος πάθος. A.B.I. ἐκποδών: πορρωτάτω. M.

2.329 459"χρῆν σ̓ ἐπὶ ῥητοῖς: ἐπὶ συνθήκαις ἐχρῆν τὸν πατέρα σου γεννῆσαί σε, ἐπὶ ὡρισμένοις, ἢ ἐπ̓ ἄλλοις δεσπόταις θεοῖς, εἰ μὴ στέργεις τούσδε τοὺς νόμους τῆς Ἀφροδίτης, φησὶ, καὶ τοῦ ἔρωτος. A.B.I. ἐπὶ συνθήκαις. B. ὁμολογίαις. M.

2.330 461. εἰ μὴ τούσδε γε στέρξεις νόμους: εἰ μὴ ἔμελλες καὶ αὐτὴ κατὰ τὸ λοιπὸν ἅπαντας ἀνθρώπους ὑποκεῖσθαι καὶ βουλεύειν τοῖς θεοῖς πᾶσιν ἐπ̓ ἴσης δηλαδὴ πᾶσιν ἀνθρώποις, ἐχρῆν τὸν γεννῶντά σε πατέρα ἐπὶ ὡρισμένοις τισί σε παραγαγεῖν καὶ μὴ κατὰ τὸ κοινὸν τῶν ἀνθρώπων, οἷον οὕτω σε γεννῆσαι ὥστε ὡρίσθαι σε τοῖσδε μὲν ὑποκειμένην θεοῖς ἢ καὶ πάθεσιν ἀνθρωπίνοις, τοῖσδε δὲ μή. A.

2.331

Eulogikon public reading copy · View original HTML at eulogikon.org

462. πόσους δοκεῖς δή: ἕως τοῦ εὖ φρονεῖν, καὶ οὐχ ὑπ᾽ ἀγνοίας ἀνεξικακοῦντας, ἵνα μὴ τοῦτο ἀντιθῇς.

2.332 463. νοσοῦνθ̓ ὁρῶντας: μὴ δοκεῖν ὁρᾶν τὰ πταίσματα, τῇ κοινῇδυναστείᾳ καὶ τῇ τοῦ ἔρωτος συγγινώσκοντας. A.B.l. κακῶς ἔχοντα. B.

2.333 464. πόσους δὲ παισὶ πατέρας: πόσους δὲ οἴει πατέρας τοῖς παισὶν ἡμαρτηκόσι δἰ ἔρωτα συμβαστάζειν αὐτοῖς τὴν παρὰ τῆς Ἀφροδίτης νόσον, καὶ τοσοῦτον ἀπέχειν τοῦ μέμφεσθαι ὥστε καὶ 1. ὁ Κέφαλος om. A. cepi addito τούς. ib. Δηϊονέως] διονέως A. 21. ἕως τοῦ A. ἕως τὸ B.I. 3. λέγει] λέγεται A. ib. ἀγνοίας] ἀνοίας A. 4. τοῦ μείζονος A. τῶν μειζόνων 22. ἀντιθῇς] ἀνατιθῇς A. 24. καὶ τῇ add. A. 8. τῶν ἄλλων] τῶν om. A. 25. πατέρας post ἡμαρτηκόσι A. 12. δεσπόταις om. A. 26. ἡμαρτηκόσι] ἡμαρτηκότας I. ib. εἰ μὴ—ἔρωτος om. A. ib. τὴν παρὰ τῆς Ἀ. Matthiae pro 13. τούσδε Valcken. pro δέ. Re- παρὰ τῆς Ἀ. τήν. συγκάμνειν εἰς τοὺς ἔρωτας αὐτοῖς. τὸ γὰρ ἐλέγχειν τὰ τοιαῦτα οὐδέν ἐστιν ἄλλο ἀλλ̓ ἢ συμφορὰν ὀνειδίζειν.

2.334 465. κομίζειν: καλύπτειν. B.

2.335 466. λανθάνειν: λείπει τὸ ὥστε. B. κρύπτειν. B.

2.336 467. οὐδ̓ ἐκπονεῖν τοι χρῆν: οὐκ ἐξακριβάζεσθαι, οὐδὲ καταπονεῖσθαι δεῖ πάνυ τοὺς ἀνθρώπους, ἀντέχοντας πρὸς τὸν ἔρωτα. A.B.I. Ἄλλως. ἐνταῦθα τὸ ἐκπονεῖν λίαν τὸν βίον τοιοῦτόν ἐστιν, ὡς οὐ χρὴ τὸν ἄνθρωπον βιάζειν ἑαυτὸν ὥστε ὑπερανέχειν τήν τε ἀναγκάζουσαν φύσιν καὶ τὰ συμπίπτοντα. A. τὸ γὰρ ἐκπονεῖν τοιαύτην ἔχει τὴν σημασίαν, τὸ λίαν σπεύδειν κερδαίνειν. δεῖ γὰρ ποτὲ μὲν ἐκτείνειν πόνοις τὸ σῶμα, ποτὲ δὲ ἀνιέναι. τὸ δὲ ἐκπονεῖν ἤτοι ἀεὶ ἐθέλειν πονεῖν οὐ τοῖς ἀνθρώποις. A. οὐδὲ στέγην γάρ, ὑφ᾽ ἧς οἱ δόμοι κατηρεφεῖς γίνονται, καλῶς ἀκριβώσειαν, οἱ τέκτονες δηλονότι, καὶ τὸ μέτρον τοῦ διαστήματος τῶν δόμων φυλάξειαν, ὡς μήτε ἐκείνην πολὺ ἀπέχειν μήτε τὴν ἄλλην πλησιάζειν. εἶτα πρὸς μὲν ξύλων συνθέσεις καὶ κανόνας εὐσυνθέτους οὐκ ἐφίκετο τῆς ἀκριβείας ἡ τέχνη· σὺ δὲ τηλικαύτην συμφορὰν ἀπταίστως βούλει παραδραμεῖν.

2.337 468. κατηρεφεῖς: ἐσκεπασμένοι. B. δόμοι: δοκοί. B.

2.338 469. ἀκριβώσειαν: οἱ ἐργαζόμενοι. B. εἰς δὲ τὴν τύχην: εἰς δὲ πέλαγος ἄδηλον τῆς τύχης ἐκκολυμβῆσαι. οἰκειότατα δὲ τῇ λέξει κέχρηται ὡς ἐπὶ πελάγους καὶ χειμῶνος. ἀκολούθως δὲ καὶ τῷ πεσοῦσα πρὸς τὴν συμφορὰν ἐχρήσατο. A.B.I. ἐν γὰρ τοῖς σοφοῖς τῶν ἀνθρώπων τοῦτο ὑπάρχει, τὸ λανθάνειν ἑαυτὸν, καὶ προσποιεῖσθαι τῶν πλησίων τὰ μὴ καλὰ ἁμαρτήματα. B.I.

2.339 471. ἀλλ̓ εἰ τὰ πλείω: ἀλλ̓ ἐὰν ἔχῃς περισσότερα καλὰ καὶ ὀλιγώτερα κακὰ ἄνθρωπος οὖσα, καλῶς πράξειας ἄν. A. ἀλλ̓ ἐὰν πλείονα ἔχῃς πλείονα καλὰ, βραχύτερα δὲ κακὰ, καλῶς πράξειας ἄν. B.I.

2.340 473. ἀλλ̓ , ὦ φίλη παῖ, λῆγε: τῶν ὑπὲρ φύσιν φρενῶν καὶ ἐπ᾽ ἔρωτι θάνατον μηχανωμένων. τὸ γὰρ ἀρχόμενόν τινα δυσφορεῖν οὐδὲν ἕτερόν ἐστιν ἢ κρείσσονα ἑαυτὸν νοεῖν τοῦ κρατοῦντος, καὶ τὴν δεσποτείαν ἄδικον εἶναι, καὶ λέγειν κρείσσω δαιμόνων. A.B.I.

2.341 474. ὑβρίζουσ̓ : βλασφημοῦσα. B. τὴν θεὸν διὰ τὸ μὴ τηρεῖν τοὺς νόμους. B.

2.342 475. τάδ̓ ἐστὶ κρείσσω: ἢ καθὸ μὴ βούλεται ὑποκεῖσθαι τῇ Ἀφροδίτῃ, ἢ ἐπεὶ καὶ οἱ θεοὶ πολλάκις ἐρῶσιν, ὡς καὶ ἡ γραῦς ἔφη. διὰ τούτου δὲ θεραπεύει τὴν ὑποψίαν τῆς αἰσχρότητος, εἰς θειοτέραν ἀνάγκην τὸ ἀκούσιον τῆς γνώμης ἀναφέρουσα. δαιμόνων: ποῖον τοῦτο. B.

2.343 476. τόλμα: ἐκπληρῶσαι τὸν ἔρωτα. B. ὑπόμενε, καρτέρει, σκόπει. B.

2.344 477. νοσοῦσα δ̓ εὖ πως: καλῶς σαυτὴν διάθες, καὶ γενναίως φέρε αὐτὴν, οἷον μὴ ἡττῶ τῇ νόσῳ, ἀλλὰ γενναίαζε. A.B.I. Ἄλλως. καλῶς πως διατίθει τὴν νόσον, καὶ ὑπόταττε σαυτὴν, οἷον μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡττῶ τῆς νόσου, ἀλλὰ γενναίως φέρε καὶ ἐπὶ πέρας ἄγε αὐτήν. A.B. Fl. 6. 15. καταστρέφου: κατατιθέναι. B.

2.345 478. ἐπῳδαί: φαρμακεῖαι, θελκτήριοι δὲ θελκτικοί. B. ἐπᾴσματα. M.

2.346 480. ἦ τἄρα γ̓ ὀψέ: βραδέως ἂν οἱ ἄνδρες νοηθεῖεν παρά τινος. 3. πλείονα ἔχῃς B. ἔχῃς πλείονα I. haec adjuncta in I. Novum scholion ib. πράξειας ἂν B. ἂν πράξειας I. incipit in B. 5. λῆγε om. A.B. 13. ἐπεὶ καὶ] καὶ om. A. ib. τῶν ὑπὲρ] τῶν συμφορῶν οὐσῶν 14. τούτου] τοῦτο A. καὶ ὑπὲρ A. ib. θεραπεύει A. B. θεραπεύειν I. 6. φρενῶν om. A. ib. εἰς] διὰ A. ib. τὸ γὰρ A. λῆγε: τὸ γὰρ B.I. 20. γενναίαζε A.B. Fl. 6. 7. κρείσσονα] κρεῖσσον A. γενναίως φέρε καὶ ἐπὶ πέρας ἄγε I. 8. εἶναι] λέ addit A., omissis 21. διατίθει] αὐτὴν διατίθει A. καὶ λέγειν κρείσσω δαιμόνων. 22. ἄγε αὐτήν A. αὐτήν om. ceteri. 12. Lemma τάδ̓ ἐστὶ κρείσσω 26. νοηθεῖεν παρά A. διαμυηθεῖεν addidi et A. Scholio praecedenti περί B.I. εἰ μὴ ἡμεῖς αἱ γυναῖκες μηχανὰς εὑρήσομεν. εἰ γὰρ αἱ γυναῖκες ἀπορήσομεν πανουργιῶν, πόσῳ μᾶλλον οὐκ εἰς ἔσχατον ἀμηχανίας περιπεσοῦνται οἱ ἄνδρες. ὥσπερ γὰρ τὸ νοῦν ἔχειν δέδοται τοῖς ἀνδράσιν, οὕτως τὸ πανουργεῖν καὶ μηχανὰς ἐξευρίσκειν ταῖς γυναιξί.

2.347 482. Φαίδρα, λέγει: πρὸς μὲν τὴν παροῦσαν, φησὶ, συμφορὰν τοῦ ἔρωτος χρησιμώτερά σου λέγει ἡ τροφὸς ᾗ σὺ μὲν ἐκβάλλεις σαυτὴν ζωῆς, ἡ δὲ τὸ ζῆν σοι προξενεῖ. σὲ δὲ, φησὶν, ὅμως ἐπαινῶ τῆς σωφροσύνης. συγκριτικῶς δὲ εἶπε τὸ δυστυχέστερος, ὡς ἂν ἀμφοτέρων τῶν λόγων τὸ δυστυχὲς κεκτημένων, τοῦ μὲν διὰ τὴν αἰσχύνην, τοῦ δὲ διὰ τὸν θάνατον. ἐμφαντικώτερον δὲ καὶ ἀλγίονα εἶπεν ἔπαινον τὸν οὐχ ἡδονὴν προξενοῦντα κατὰ τοὺς ἄλλους ἐπαίνους τοῖς ἀκούουσιν, ἀλλὰ θάνατον.

2.348 483. αἰνῶ: τὴν μὲν αἰνεῖ διὰ τὸ χρήσιμον καὶ πιθανὸν τῆς γνώμης, τὴν δὲ θαυμάζει διὰ τὸ βέβαιον τῆς σωφροσύνης. B.

2.349 484. ὁ δ̓ αἶνος οὗτος: ἴσθι μέντοι τοῦτο, ὅτι ὁ ἔπαινος τῆς σωφροσύνης ὁ παῤ ἐμοῦ λεγόμενος, εἰ καὶ καλλίων ἐστὶ τῶν ταύτης λόγων, ἀλλ̓ οὖν γε δυστυχέστερος αὐτῶν, καθὸ θάνατόν σοι προξενεῖ. διὰ τοῦτο εἰκότως εἴη σοι λυπηρὸς ἀκούειν, εἰς ἀπώλειάν σε προτρεπόμενος. ἀλγίονα δὲ ἔφη τὸν ἔπαινον, ὡς ἂν μηδὲ ἐπαίνου, φησὶν, εἰληχότα. οἱ γὰρ ἔπαινοι ἥδουσι τοὺς ἐπαινουμένους.

2.350 486. τοῦτ᾽ἔσθ̓ ὃ θνητῶν: μάλιστα τὰς πολιτείας τοῦτο ἀπόλλυσι, τὸ τὰ κεχαρισμένα τῷ δήμῳ λέγειν πρὸς τὴν ἰδίαν σύστασιν.· ὅταν γὰρ ἁμαρτάνοντί τινι μὴ πρὸς σωτηρίαν, ἀλλὰ πρὸς αὔξησιν τῆς ἁμαρτίας συμβουλεύῃ τις, οὗτος διὰ τῶν ἡδέων λόγων ἀπόλλυσι τὸν ἁμαρτάνοντα. οἱ ἡδεῖς γὰρ λόγοι καὶ πλανητικοὶ ἀπολλύουσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς δόμους.

2.351 487. οἱ καλοὶ λίαν λόγοι: οἱ πρὸς ἡδονὴν λεγόμενοι. διαβάλλει δὲ τὴν φύσιν τῶν ἡδέων ὡς ἄχρι τῆς ἀκοῆς τὸ χρήσιμον ἐχόντων. οὐ γὰρ τὰ πρὸς ἡδονὴν δεῖ λέγειν, ἀλλὰ τὰ πρὸς δόξαν. B.

2.352 488. τι: κατά τι. B. τερπνά: τὰ πράγματα. B.

2.353 490. τί σεμνομυθεῖς: ἀλαζονεύεις. M. ἀντὶ τοῦ τί φαίνῃ σώφρων. B.

2.354 491. διιστέον: διαγνωστέον, πειρατέον. ὁ δὲ νοῦς, ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ Ἱππολύτου, ποῖος ἔσται πρὸς τὰ λεγόμενα.

2.355 492. τὸν εὐθύν: ἐκ γὰρ τῆς συντόμου ὁμιλίας ὀλέσειε τὸ τῆς φύσεως αἰφνίδιον νόσημα, καὶ οὐκ ἂν ἐκ τοῦ ποικίλου τῆς ἐπαγγελίας, ὡς ἐθάδας τῆς νόσου, μισήσειεν. A.B.I. τὸν ἀληθῆ, τὸν σύντομον, τὸν ἁπλοῦν. B.

2.356

Eulogikon public reading copy · View original HTML at eulogikon.org

497. οὐκ ἐπίφθονον τόδε: οὐ νεμεσητὸν οὐδὲ μεμπτὸν τὸ σῶσαι τὸν βίον διὰ τῆς ἐκπληρώσεως τοῦ ἔρωτος, εἴ γε δεύτερα πάντα τῆς σωτηρίας ἡγούμεθα. B.

2.357 499. καὶ μή μεθήσεις αὖθις: ἀπειρηκυῖα τοῖς σοφίσμασι τῆς γραὸς παρακαλεῖ μηκέτι περὶ τοιούτων γυμνάζειν, μηδὲ λέγειν ὅτι καλῶς καὶ μετρίως ὑπείργασται αὐτὴν ὁ ἔρως, οὐ παράλογος, οὐδὲ ἄξιος θανάτου.

2.358 500. αἴσχῤ, ἀλλ̓ ἀμείνω: παρὰ μὲν ἑτέρῳ τινὶ μὴ ἐρῶντι αἰσχρὰ νομισθείη, παρὰ σοὶ δὲ βελτίω εἰσὶ τῶν παρὰ σοῦ καλῶς λεγομένων, καθὸ τὰ μὲν θάνατον, τὰ δὲ σωτηρίαν σοι περιποιεῖ. πρὸς πλείονα δὲ πειθὼ τὸ μὲν ἔργον, τὸ δὲ ὄνομα ἐκάλεσεν, ὡς τούτου μὲν τῇ ἀληθείᾳ σωτηρίαν ἔχοντος, τοῦ δὲ τὸ ἐπάγγελμα ἐν φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν. Ἄλλως. τὰ δοκοῦντά σοι αἰσχρὰ εἶναι τῶν καλῶν λόγων κρείσσονα ἐστίν· ἢ αἰσχρὰ μὲν τὰ λεχθέντα τῷ προστυχόντι, σοὶ μέντοι νοσούσῃ τὸν ἔρωτα βελτίονα.

2.359 501. τοὔργον: τὸ τῆς σωτηρίας, τοὔνομα δὲ τὸ τῆς σωφροσύνης. B.

2.360 502. γαυρουμένη: σεμνυνομένη. B. ἀλαζονευομένη. M.

2.361 503. εὖ λέγεις γάρ: καλῶς μὲν γὰρ λέγεις καὶ πιθανῶς, αἰσχρὰ 7. πειρατέον prius add. A.B. 18. ὁ om. B. 8. τοῦ et ποῖος—λεγόμενα om. A. ib. ὑπείργασται] εἴργασται B.I. 10. ἐπαγγελίας A. ἀπαγγελίας B.I. 21. παρὰ σοὶ] τὰ παρὰ σοὶ A. 11. ἐθάδας A.B. Fl. 6. ἐθάδης I. 22. σωτηρίαν] σωτηρίας I. ἐθάδος Heathius. 26. κρείσσονα] κρείττονα A. 13. οὐδὲ μεμπτὸν] οὐ μεμπτὸν B. 30. καλῶς —τὰ λεγόμενα] Haec qui om. οὐ νεμεσητόν. etiam in M. δέ ἐστι τῇ φύσει τὰ λεγόμενα, καὶ μή γε πρὸς θεῶν πέρα προβῇς τι τῶν λόγων τούτων, μηδὲ σοφιζομένη λέγε ὅτι καλὸν ὑπείργασμαι καὶ ὑποθάλπομαι τὴν ψυχὴν, καὶ καρτερῶ τῷ ἔρωτι, καὶ οὐδὲν ἡμᾶς ἔβλαψεν ἄξιον θανάτου.

2.362 504. ὑπείργασμαι: ὑποθάλπομαι καὶ καρτερῶ. B.

2.363 505. αἰσχρὰ δ̓ ἢν λέγῃς: ὅταν δὲ τὰ αἰσχρὰ πιθανῶς λέγῃς καλὰ τῇ δεινότητι, διαφθαρήσομαι ἐγὼ, καὶ ἐμπέσω εἰς ὃ φεύγω, τουτέστι τὴν ὁμιλίαν καὶ συνουσίαν τοῦ ἐρωμένου. δέδοικε γὰρ ἡ Φαίδρα μὴ λαθοῦσα ἁλῷ τῇ πιθανότητι.

2.364 507. εἴ τοι δοκεῖ σοι: μὴ δυνηθεῖσα τοῖς σοφισμοῖς περιγενέσθαι, δευτέραν εἰσηγεῖται γνώμην ἡ γραῦς, καὶ ὑπισχνεῖται ἀντιτρώσειν κἀκεῖνον φαρμάκοις τισὶν, ὅπως ἂν θαρσαλεώτερον αὐτῷ τὸν ἔρωτα μηνύσωσιν, ὡς πάντως πείσουσαι. εἰ τοίνυν, φησὶ, δοκεῖ σοι τὸ μὴ συνελθεῖν τῷ ἐρωμένῳ, ἔδει σε μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσαν, καὶ εἰ τὸ σωφρονεῖν σοι δέδοκται, ἔδει μηδ̓ ὅλως ἁλῶναι τῷ ἔρωτι. κἂν γοῦν, φησὶ, δευτέραν χάριν μοι δὸς, δευτέρῳ τρόπῳ πεισθεῖσα τῷ τῶν φαρμάκων. ἔστι δέ μοι, φησὶν, ἐν τῇ οἰκίᾳ φάρμακα ἐρωτικὰ, ἃ δύναταί σου παῦσαι τὴν νόσον καὶ τελέσαι τὸν ἔρωτα, ἀντιτρώσαντα δηλονότι τὸν ἐρώμενον. εἰ δὲ πάλιν σὺ ἀπειθήσασα οὐκ ἐάσεις με τοῦτο ποιῆσαι, βλάβη σοι γενήσεται. Ἄλλως. τινὲς οὕτως· εἰ δοκεῖ σοι σωφρονεῖν, ὤφειλες μηδέν μοι λέγειν· εἰ δέδοκταί. σοι τὸ μὴ πεισθῆναι, κἂν δευτέραν καὶ ἥσσονά μοι χάριν δός. πάντως γὰρ κἀκείνου οὕτως ἐρῶντος οὐκ ἂν ἀποτυχοῦσα τῆς κοινωνίας ἡττηθείης.

2.365 ἄρτι μοι: ἄρτι ὑπεμνήσθην ὅτι ἔχω φάρμακα. B.

2.366 512. παύσει νόσου: τὸν ἐρῶντα προσληπτέον. ἅτινα φίλτρα, 6. π. λέγῃς A.B. λέγῃς π. I. 20. ποιῆσαι B. ποιήσειν 1. γίνεσθαι 7. καλὰ om. A. A. omisso με ante τοῦτο. 8. ἐρωμένου] ἔρωτος I. ib. γενήσεται] τὸ γινόμενον A. ib. δέδοικε—πιθανότητι om. A. 21. εἰ δοκεῖ — ἡττηθείης] Haec 12. κἀκεῖνον] ἐκεῖνον A. etiam in M., sed sic scripta, εἰ δοκεῖ ib. ὅπως A. Fl. 6. 15. ὡς B.I. —μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσα, 13. πείσουσαι] πείσασαι A. ὅμως κἂν ταύτην ἥσσονά μοι χάριν δός. 15. καὶ εἰ] καὶ οὐ I. τινὲς οὕτως οὐ δεῖ σοι μ. . .πείθεσθαι εἰς 16. γοῦν, φησὶ om. A. . . . ἐχρῆν. . .οὖν. . . reliquis obliteratis. ib. χάριν μοι] μοι χάριν A. 23. κἀκείνου—ἡττηθείης om. A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

in 18. σου om. A. spatio vacuo. ib. τὴν νόσον] τῆς νόσου A. 26. ἐρῶντα] ἔρωτα B. Fl. 6. 19. ἀντιτρώσαντα A. τρώσαντα B.I. ἤτοι φάρμακα τὰ θέλγοντα εἰς φιλίαν, οὔτε δύσκλειαν πορνείας σοι θέντα οὔτε ἀπατήσαντά σε παύσει τῆς νόσου, ἐὰν σὺ μὴ γένῃ κακὴ, ἀντὶ τοῦ εἰ μὴ ἀπειθήσασα κωλύσεις με. B.I.

2.367 514. σημεῖον ἢ λόγον: δεῖ, φησὶν, ἐν τῇ φαρμάξει ἐκ τοῦ Ἱππολύτου σημεῖόν τι λαβεῖν, ἢ λόγου μνημόνευμα, ἢ κρασπέδου ἀπόσπασμα. καὶ τὸν μὲν λόγον αὐτοῦ τῷ λόγῳ τῆς Φαίδρας συνάψαντας ἐπᾴδειν, τὸ δὲ ἀπόσπασμα τῆς ἐσθῆτος πάλιν ἐπαοιδῆς ἀποσπάσματι τῆς ἐσθῆτος Φαίδρας συνάπτειν, ἵν', ἐὰν τοῦ διὰ λόγου ἀποτύχωμεν, τῷ δὶ ἐσθῆτος χρησώμεθα. συνάψαντες γὰρ ἄμφω τοὺς λόγους, ἢ τὰ ἀποσπάσματα τῶν ἱματίων οὕτως ἐπᾴδουσιν, οἷον Ἱππόλυτος ὁ τόδε εἰπὼν ἐρασθείη Φαίδρας τῆς τόδε εἰπούσης. μερικῶς δὲ καὶ τὸ φυσιολογικὸν μᾶλλον διήγημα εἰπὼν "συνάψαι τ'ἐκ δυοῖν μίαν χάριν." διὰ γὰρ φυσιολογιῶν τινῶν ἄμφω τὰς φύσεις εἰς ἕνα ξυνάγουσιν ἔρωτα. ἄριστα δὲ καὶ ἐνταῦθα ἡ διοίκησις. τὴν μὲν ὅλην φάρμαξιν οὐκ ἐπὶ σκηνῆς, ἀλλ̓ ἔνδον ποιῆσαι μέλλουσα, πιθανῶς ἤδη τὸ κεφάλαιον ὑπέθετο τῆς φαρμάξεως. ἔδοξε γὰρ ἂν ἐνοχλεῖν διηγουμένη φανερῶς.

2.368 516. χριστόν: ἆρα δὲ χριόμενόν ἐστι τὰ φάρμακον ἢ πινόμενον. B.

2.369 517. ὄνασθαι, μὴ μαθεῖν: διδάσκου πῶς δεῖ τοῖς ἀναγκαίοις κεχρῆσθαι εἰς τὴν παραυτίκα μόνον ἀπαλλαγὴν τῶν κακῶν καὶ ἀπόλαυσιν· οὐ γὰρ εἰς τὴν διηνεκῆ γνῶσιν. τὸ γὰρ τοιοῦτον πονηρίας ἐστὶν 2. οὔτε scripsi pro οὐδέ. ib. συνάπτειν] ἐπᾴδειν ἢ συνάπτειν 4. ἐν τῇ A.B. Fl. 6. 15. αὐτῇ I. Fl. 6. 15. 5. σημεῖον hic A., ante ἐκ τοῦ ib. ἐὰν τοῦ A. εἰ αὐτοῦ ceteri. ceteri. 9. τῶ—χρησώμεθα] τὸ—χρησόμεθα ib. λόγου] λόγων A. hic et in lemmate. A. ib. ἀπόσπασμα om. A. 12. μᾶλλον om. A. ib. εἰπὼν] εἶπ A. 6. τὸν μὲν λόγον αὐτοῦ τῷ (τῷ om. 13. φυσιολογιῶν A.B. Fl. 6. 15. A.) λόγῳ A.B. Fl. 6. 15. τῷ μὲν φυσιολογικῶν I. λόγῳ αὐτοῦ τὸν λόγον I. 15. μέλλουσα] θέλουσα A. 7. τῆς add. A. 16. ὑπέθετο] ὑπετίθετο Fl. 6. 15. ib. ἐπαοιδῆς A.B.I. ἐπ̓ ἀοιδῆς Fl. 20. διδάσκου B. Fl. 6. 15. διδάσκουσα 6. 15. ἐπᾴδοντας Matthiae. μτ 1. διδάσκει A. ib. ἀποσπάσματι Barnesius. σπασ ib. δεῖ] δὴ I. A. quod nihil aliud esse videtur 21. μόνον] μόνην A. quam ἐπάσματος, quod est in B.I., ib. καὶ ἀπόλαυσιν add. A. ἐπ̓ ἄσματος scriptum in Fl. 6. 15. 22. καὶ] ἡ I. 8. Φαίδρας] φαίδραν I. ἐπιθυμία καὶ διηνεκὴς τῆς κακουργίας ἀπόλαυσις. δεῖ οὖν πρὸς τὸ λυσιτελοῦν ἀπολαύοντας τῶν τοιούτων καταρρᾳθυμεῖν τῶν διηνεκῶν εἰδήσεων. ὠφεληθῆναι, φησὶ, μόνον βούλου, ἀλλὰ μὴ μαθεῖν τῆς ὠφελείας τὴν φύσιν. τὸ δὲ ὄνασθαι ὡς ἵστασθαι. τὸ θέμα ὄνημι.

2.370 518. δέδοιχ̓ ὅπως: ἐπειδὴ μεσότης ἐστὶ καὶ ὑπερβολὴ καὶ ἔλλειψις, καὶ ἡ μὲν μεσότης ἐστὶ φρόνησις, ἡ δὲ ἔλλειψις ἀφροσύνη, ἡ δὲ διαβολὴ πονηρία, διὰ τοῦτο εἶπε "δέδοικα μὴ λίαν φανῇ σοφή," ἤτοι πονηρά. τὸ λίαν γὰρ ἐπαυξητικόν ἐστι τοῦ. . .καὶ λοιπὸν ἐκ τῆς πονηρίας βλάψεις μᾶλλον ἢ ὠφελήσεις. τῆς γὰρ φρονήσεως, ἤτοι τῆς μεσότητος, λειπούσης ἐξ ἀνάγκης ἄμφω αἱ κακίαι, ἤτοι ἡ πονηρία καὶ ἡ ἀφροσύνη, βλάπτουσι. A. δέδοικα, φησὶ, μὴ μετιοῦσα τὴν φάρμαξιν ἔργῳ δηλώσῃς τὴν νόσον. τὸ δὲ "πάντ'ἂν φοβηθεῖσ̓ ἴσθι" ἀντὶ τοῦ, εἰ τὸ μηδὲν ἄξιον φόβου φοβῇ, πάντα ἂν φοβηθεῖσαν γνῶθι σαυτήν. A.B.I. σοφή: πανοῦργος. B. μωρὰ, ἀνόητος. Fl. 2.

2.371 520. μή μοί τι: φοβοῦμαι μὴ ἐπ̓ ἐμοὶ σφόδρα τις πανοῦργος ἀποδειχθῇς μηνύσασα τῷ Ἱππολύτῳ τὸν πρὸς αὐτὸν ἀπ̓ ἐμοῦ ἔρωτα.

2.372 521. ἔασον, ὦ παῖ: οἰκονομικώτατα οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀντέθηκε, καίτοι αὐτὴ ἐρωτήσασα τὴν Φαίδραν, διὰ τί φοβοῖτο, ἀλλὰ μόνον φησὶν, ἐγὼ ταῦτα θήσω καλῶς, οὐ βουλομένη κατήγορος ὕστερον ἑαυτῆς φωρᾶσθαι. τὴν Ἀφροδίτην δὲ ἐπικαλεῖται ὡς παραστατοῦσαν ταῖς τοιαύταις περιεργίαις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.373 524. τοῖς ἔνδον ἡμῖν: φίλον ὀνομάζει τὸν Ἱππόλυτον καθ̓ ἡδονὴν ἡ γραῦς, προλαμβάνουσα ταῖς ἐλπίσιν. ὁ δὲ νοῦς· τὰ δὲ ἄλλα, ἃ φρονῶ, ἀρκέσει ἄρα ἔνδον διηγήσασθαι φίλοις, ὁποῖά ἐστι, καὶ μὴ ἐπὶ πάντων καὶ ἐπὶ τοῦ θεάτρου ταῦτα ἐκφέρειν. Ἄλλως. οὐ βούλομαι παρρησιάζεσθαι τὰ τῆς γοητείας· ἀρκεσθήσομαι γὰρ τοῖς ἔνδον.

2.374 525. Ἔρως Ἔρως: λοιπὸν ὁ χορὸς ἐκτείνεται πρὸς τὸν Ἔρωτα λέγων, ὦ Ἔρως, ὅστις διὰ τῶν ὀμμάτων τῶν ἀνθρώπων στάζεις τὸν πόθον, διὰ τούτου εἰσάγων ταῖς ψυχαῖς καὶ τὴν γλυκεῖαν ἡδονὴν, καθ̓ ὧν ἂν ψυχῶν ἐπιστρατεύσῃ τῷ ἐρωτικῷ τόξῳ καὶ ἐρᾶν ποιήσῃς. τὸ δὲ ἑξῆς οὕτως· ὦ Ἔρως, ὃς κατὰ τῶν ὀμμάτων τῶν ἐρωμένων ἡδονὴν καὶ ἐπιθυμίαν ἐπιχέεις, διὰ τούτου γλυκεῖάν τινα ἡδονὴν εἰσάγων ταῖς ψυχαῖς ἐκείνων, καθ̓ ὧν ἂν ἐπιστρατεύσῃ τοῖς ἐρωτικοῖς βέλεσιν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτε ἐπαναγκάσειες τινὰ ἐρᾶν, τῷ ἐρωμένῳ γλυκεῖαν ἐπιτιθεὶς ταῖς ὄψεσιν ἡδονὴν, ὅπως τοὺς ἐρῶντας αὐτοπροαιρέτῳ καθυποτάξῃς ἀνάγκῃ διὰ τῆς ἡδονῆς. τὸ δὲ ἑξῆς· ὦ Ἔρως, Ἔρως, ὃς κατ᾽ὀμμάτων στάζεις πόθον, μή μοι ποτὲ σὺν κακῷ φανείης. οὐ πάντη δὲ ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐπὶ κακῷ. εἰσὶ γὰρ καὶ ἀρετῶν ἔρωτες. A.B.I.

2.375 ὅ: τὸ ὅ προτακτικὸν ἀντὶ τοῦ ὅς ὑποτακτικοῦ ἄρθρου. A.B.

2.376 527. ψυχᾷ χάριν οἷς: ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν μετέβη. ἔδει γὰρ εἰσάγων ψυχῇ χάριν ᾗ ἐπιστρατεύσῃ, ἀλλὰ τὸ μὲν ἑνικὸν παρέλαβε πρὸς τὸ ὁμοιοπαθὲς τῆς ἀνθρωπίνης φύσεως, εἰς δὲ τὸ πληθυντικὸν ἐξέπεσε πρὸς ἐξήγησιν τοῦ κατὰ τὸν ἑνικὸν ἀριθμὸν δεδηλωμένου πληθυντικοῦ. εἰσὶ δὲ τὰ ὀνάματα οἰκεῖα ἔρωτι. A.

2.377 528. μή μοί ποτε σὺν κακῷ: οὐ πάντη ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐθελόκακον, ἐπεὶ καὶ ἀρετῶν εἰσιν ἔρωτες. A.M.

2.378 529. μηδ̓ ἄρρυθμος: μηδὲ ἄμετρός τις καὶ ἄτακτος ἔλθοις. ῥυθμὸς γάρ ἐστιν ἡ μουσικὴ τάξις. πᾶς δέ τις ἔρως μεμετρημένος ἔχει μετὰ τῆς ἰάσεως τὸ χάριεν ἅμα καὶ ἀβλαβές.

2.379 530. οὔτε γὰρ πυρός: οὔτε γὰρ τὸ βέλος τοῦ πυρὸς οὔτε τὸ ὑψηλότατον βέλος τῶν ἄστρων τοιοῦτόν ἐστιν, οἷον ἵησιν ἐκ χειρὸς ὁ 3. διὰ τούτου] διὰ A. 9. αὐτοπροαιρέτῳ] αὐτοπροαιρέτως Fl. ib. καὶ τὴν γ. ἡ.] γ. τὴν ἡ. sine 6. 15. αὐτοπροαιρέως (sic) I. 10 ὦ om. A. καὶ A. 4. ψυχῶν] τῶν ψυχῶν Fl. 6. 15. 12. φανείης] μηδ̓ ἄρυθμος ἔλθῃς add. ib. ποιήσῃς Barnesius. ποιήσας I. A. reliqua scholii parte omissa. Sed ποιήσειας B. Fl. 6. 15. ποιήσειε A. habet infra lin. 20. 6. γλυκεῖαν—ἐκείνων] ταῖς ψ. ἐκείνων ib. κακῷ B. τῷ κακῷ I. εἰσάγων γλυκεῖάν τινα ἡδονὴν A. 14. ἄρθρου om. A. 8. ἐπαναγκάσεις B. Fl. 6. 15. 22. ἔλθοις] ἔλθῃς Fl. 6. ἐπαναγκάσῃς. I. ἀναγκ, A. 24. ἀβλαβές] εὐλαβές A. ib. τῷ ἐρωμένῳ—ἐπιτιθεὶς τῶν ἐρωμένων 26. χειρὸς] χειρῶν A. ib. ὁ om. A. —ὑποτιθεὶς Fl. 6. 15. Ἔρως ὁ Διὸς παῖς. εἶτα ἵνα μὴ δόξῃ τὸ κοινὸν βέλος λέγειν, φησὶ τὸ τῆς Ἀφροδίτης. ἀπὸ κοινοῦ δὲ τὸ βέλος τοῦ πυρὸς καὶ τὸ βέλος τῶν ἄστρων. Ἄλλως. ἡ μὲν τοῦ πυρὸς βολὴ τὸ δυνατὸν, ἡ δὲ τῶν ἄστρων πρὸς τὸ ἐπιτευκτικόν. τὸ μὲν γὰρ ἀναλωτικὸν τῶν ἐμπιπτόντων, τὸ δὲ ὀξείας καὶ ἐξόχους ἔχον τὰς ἁφὰς, ὥστε τὸ μὲν πρὸς τὴν ἰσχὺν, τὸ δὲ πρὸς τὴν εὐστοχίαν. οὔτε γὰρ τοῦ πυρὸς οὔτε τῶν ἄστρων τῶν τὰς χειμασίας ἐμποιούντων τὸ βέλος χεῖρόν ἐστι τοῦ σοῦ βέλους.

2.380 535. ἄλλως: μάτην θύομεν Διὶ Ὀλυμπίῳ καὶ Ἀπόλλωνι Πυθίῳ, μὴ τιμῶντες τὸν Ἔρωτα τὸν ὄντα τύραννον μὲν ἀνθρώπων, φύλακα δὲ τῶν ἀφροδισίων θαλάμων, τὸν πορθοῦντα καὶ ὀλοθρεύοντα τὸν τῶν ἀνθρώπων βίον, καὶ διὰ πάσης συμφορᾶς πόνους καὶ λύπας παρέχοντα, καὶ παντὸς κακοῦ πειραθῆναι ποιοῦντα, ὅταν πρὸς αὐτοὺς ἔλθῃ.

2.381 538. τὸν τύραννον: καλῶς οὐ βασιλέα, ἀλλὰ τύραννον αὐτόν φησιν, ἐπεὶ μὴ προνοεῖται τῆς τῶν ἀρχομένων ὠφελείας, πόνον δὲ λυσιτελοῦντα τῇ ἑαυτοῦ προαιρέσει κατεργάζεται, ἐπίδειξιν τῆς δυναστείας ποιούμενος.

2.382

Eulogikon public reading copy · View original HTML at eulogikon.org

541. κληδοῦχον οὐ σεβίζομεν: τὸν φύλακα τῶν οἴκων οὐ τιμῶμεν. φύλακα δὲ τῶν ἀφροδισίων αὐτὸν ἔφη θαλάμων. δἰ ἔρωτος γὰρ ἀφροδισιάζομεν, καὶ τότε καθ̓ αὐτῶν ὁρμῶμεν, ὁπόταν ἐκεῖνος τὴν ἐπιθυμίαν εἰς ἡμᾶς ἐπιπέμψῃ.

2.383 543. ἰόντα συμφορᾶς: ἰέναι ποιοῦντα καὶ διὰ παντὸς κακοῦ ποιοῦντα πειραθῆναι τοῖς ἀνθρώποις, ὅταν ἔλθῃ. A.

2.384 545. τὰν μὲν Οἰχαλίᾳ: περὶ τῆς Ἰόλης ὁ λόγος, ὅτι ὁ ταύτης ἔρως τὴν Οἰχαλίαν ἐπόρθησεν. ἔνιοι μὲν οὖν φασιν ἀτιμασθέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρύτου καὶ τῶν ἀδελφῶν αὐτοῦ, (οὐ γὰρ δεδώκασιν αὐτῷ τὴν κόρην,) πορθῆσαι τὴν Οἰχαλίαν. Ἡρόδωρος δέ φησιν ὅτι τοῦ τῆς Ἰόλης γάμου προκειμένου τοξείας ἐπάθλου Ἡρακλέα νικήσαντα 3. ἡ—βολὴ] ὁ—περίβολος A. 25. τὰν μὲν—ἔρως τὴν om. A. in 9. Ἀπόλλωνι] ἡλίῳ A. lacuna. 10. τύραννον A.B. Fl. 6. 15. φύλακα 26. τὸν om. A. I. ὄντα om. A. 28. κόρην] πόλιν A. 16. ἐπεὶ A.B. ἐπειδὴ I. ib. ἡρόδωρος B. Fl. 6. 15. ἡρόδοτος 20. δὲ om. A. A.I. 21. αὐτῶν—ὁπόταν om. A. in lacuna. 29. ἐπάθλου Heathius pro ἔπαθλον. ἀπαξιοῦσθαι τοῦ γάμου. διὸ καὶ κατὰ κράτος ἑλεῖν τὴν Οἰχαλίαν καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνελεῖν, Εὔρυτον δὲ φυγεῖν εἰς Εὔβοιαν. Λυσίμαχος δέ φησιν ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις τριάκοντα ἀργυρίου τάλαντα ἀπαιτούντων ποινὴν ἐπὶ Ἰφίτῳ οὕτως ἐπ̓ αὐτοὺς Ἡρακλέα στρατεῦσαι.

2.385 546. πῶλον ἄζυγα: παρθένον ἄπειρον γάμου, καθαράν. πώλῳ δὲ τὸ ἀκμαῖον αὐτῆς εἴκασεν. λέγει δὲ τὴν Ἰόλην τὴν παῖδα τοῦ Εὐρύτου, ἣν ἔλεγε διδόναι τῷ νικῶντι αὐτὸν κατὰ τὴν τοξικήν. ἐλθὼν γὰρ ὁ Ἡρακλῆς ἐνίκησε τοῦτον. ὁ δὲ Εὔρυτος παρῃτήσατο δοῦναι αὐτὴν, καὶ ἕνεκα τῆς παραβασίας ὁ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν, καὶ αὐτὴν ἔλαβε πρὸς γάμον. A.B.I. τὴν Ἰόλην λέγει τὴν Εὐρύτου θυγατέρα, ἣν ἆθλον ἐπὶ τοξείᾳ θεὶς ὁ Εὔρυτος νικηθεὶς ὑφ’ Ἡρακλέους καὶ μὴ ἀποδιδοὺς παρεσκεύασεν Ἡρακλέα καὶ τὴν πόλιν πορθῆσαι καὶ ταύτην λαβεῖν. A.

2.386 549. ζεύξαὁ ἀπειρεσίαν: ἀποζεύξασα δὲ καὶ ἀποχωρίσασα τῶν οἴκων. ὁ δὲ νοῦς, τὴν μὲν δὴ ἐν Οἰχαλίᾳ παρθένον, ἄνανδρον, ἄνυμφον οὖσαν τὸ πρότερον, τῶν νυμφικῶν οἴκων ἀποχωρίσασα ἡ Ἀφροδίτη τῷ Ἡρακλεῖ ἐπὶ φόνοις καὶ πορθήσεσι τῆς πατρίδος ἐπέδωκεν.

2.387 550. ναΐδα: νύμφην. ἀντὶ τοῦ ταχεῖαν δρομάδα νύμφην περὶ τὰ νάματα σκιρτῶσαν. A.B. τὸ ἑξῆς, νηΐδα Ἀλκμήνας τόκῳ Κύπρις ἔδωκεν, ὅ ἐστι νύμφην. δηλοῖ ἐξ ἐπιθέτου τὸ προσηγορικόν. A.B.I.

2.389 551. σὺν αἵματι: παρόσον σὺν αἵματι καὶ καύσει τῆς πατρίδος αἰτία γέγονεν, ἤτοι παρόσον ὁ γάμος αὐτῆς πρόξενος τούτων ὅλων ἐγένετο, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις “ὡς τῆς κόρης ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ̓ ἕλοι.” .

2.389 554. ὦ τλᾶμον ὑμεναίων: διὰ μέσον τοῦτο ἐσχετλίασται. εἶτα τὸ τῆς ἑτέρας ἱστορίας ἐπισυνῆπται. A.B.

2.390 555. δεύτερον διήγημα τῆς δυνάμεως τῆς Ἀφροδίτης, δηλαδὴ τὸ κατὰ τὴν Σεμέλην καὶ τὴν ταύτης κύησιν. B.

2.391 558. συνείποιτ’ἄν: συμμαρτυρήσεται. ἕρπει δὲ οἷον ἐπέρχεται σοβαρῶς. B.

2.392 559. βροντᾷ γάρ: τῇ Ἀφροδίτῃ ἀνατίθησι τὴν Σεμέλης κεραύνωσιν, ἤτοι καθὸ ὁ Ζεὺς ἀπρονόητος γενόμενος τῷ ἔρωτι ἐπείσθη τῇ Σεμέλῃ, τὸ τῶν ἐραστῶν ἀναδεξάμενος πάθος, ἢ καθὸ ἐν τῇ μίξει καὶ τῷ ἀφροδισιασμῷ ἀπώλετο. διαπέπλασται δὲ τὰ τοῦ μύθου, καθὸ ῥιζοβολεῖν ἀρχόμεναι πολλάκις ἄμπελοι τῇ καύσει τῶν νότων ἐκκόπτονται. ἀμφιπύρῳ δὲ τῇ πεπυρωμένῃ, ὡς εἰ ἔλεγε τῇ μετὰ ἀστραπῆς βροντῇ. τὴν γὰρ μητέρα τοῦ Βάκχου Σεμέλην συγκοιμηθεῖσαν οὐ τῷ Διὶ, ἀλλὰ βροντῇ ἀμφιπύρῳ, πότμῳ φονίῳ κατεύνασεν, ὅ ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατέπαυσεν, κατεκοίμισεν, εὐφήμως ἀντὶ τοῦ ἀνεῖλεν, ἡ Ἀφροδίτη δηλονότι. A.B.I. τοκάδα: μητέρα. B. τοῦ Διονύσου γεννήτριαν. M.

2.393 560. Διογόνοιο Βάκχου: τοῦ Διονύσου. B. γρ. καὶ διγόνοιο, καθὸ καὶ διθύραμβος λέγεται τῷ δισσῶς τεχθῆναι. B.

2.394 561. νυμφευσαμέναν: συγκεκοιμημένην. M. νυμφευθεῖσαν B. πότμῳ: ἐπί. B. rec.

2.395 562. κατεκοίμασε: κατευνασθῆναι καὶ συμμιγῆναι τῷ Διὶ πεποίηκε. B.

2.396 563. δεινὰ γὰρ πάντα: ἀπὸ θαυμαστικοῦ ἀρξάμενος καὶ εἰς θαυμαστικὸν κατέκλεισεν, ὥστε θαυμάζων ἄρχεται καὶ θαυμάζων παύεται. δεινὴ γὰρ ἡ Ἀφροδίτη καὶ πανταχόθεν δίκην μελίσσης περιίπταται, τὰ κάλλιστα τῶν σωμάτων μαραίνουσα.

2.397 564. πεπόταται: προσυπακουστέον τό κεντοῦσα. A.

2.398 565. σιγήσατ᾽, ὦ γυναῖκες: πρὸς τὰς τοῦ χοροῦ, ἵνα μὴ ἀκούσῃ clis verba om. I., habent B. Fl. 13. βροντῇ] πυρὶ I. 15. κατέπαυσεν om. A.B. P. 143. l. 26. ἕλοι] ἕλῃ B. ib. κατεκοίμισεν] κατεκοίμησεν A. 8. ὁ add. A. ib. ἀντὶ τοῦ om. A. 10. ἀπώλετο] ὤλετο A. 24. ἀρξάμενος] ἀρξαμένη I. 11. πολλάκις om. A. πολλάκις ἄμπελοι 27. περιίπταται Barnesius. περιίσταται πολλάκις 1. A.B. Fl. 6. 15. παρίσταται I. 12. δὲ om. A. ὁ Ἱππόλυτος ἔσωθεν. A. ἔξεισι ταραχώδης ἡ Φαίδρα, τὴν ἀπάτην τῆς γραὸς αἰσθηθεῖσα. σιγὴν δὲ αἰτεῖ, πρὸς ἀκρίβειαν πυθέσθαι βουλομένη, λομένη, καὶ αὐτὰς ἀκοῦσαι προτρεπομένη τὰ λεγόμενα περὶ Ἱππολύτου.

2.399 566. τί δ᾽ ἔστι, Φαίδρα: περὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καταγινόμενος ὁ χορὸς οὐκ ἐπαισθάνεται τῶν τοῦ Ἱππολύτου λόγων, καὶ τοῦτο εἰκότως φυλάξαντος τοῦ τραγικοῦ· περιπαθέστερον γάρ ἐστιν ὑπὸ Φαίδρας λεγόμενον.

2.400 569. ἰώ μοί μοι, αἰ αἶ: πρὸς ὀλίγον ἐν τῇ σκηνῇ σιωπῆς γενομένης ἀκούσασα τὰ λεγόμενα ἡ Φαίδρα καὶ μὴ ἐνεγκοῦσα τὸ πάθος ἀνέκραγεν. οἰκονομικῶς γὰρ οὐκ ἐξέβαλεν Ἱππόλυτον, ἀλλὰ προτετραγῴδηκε τῆς Φαίδρας τὴν ἀγωνίαν.

2.401 574. ἔννεπε: εἰπὲ, ὦ γύναι, ποῖος οὕτω λόγος εἰσελθὼν εἰς τὰ ὦτά σου ἐπτόησέ σε. ἢ οὕτως. εἰπέ μοι, ποία φήμη καὶ βοὴ ἐφορμήσασα ἐκφοβεῖ σον τὰς φρένας. στικτέον δὲ ἢ εἰς τὸ φρένας, ἢ συναπτέον αὐτῷ τὸ ἐπίσσυτος. ἑκατέρως γὰρ δύναται ὑποστίζεσθαι.

2.402 579. σὺ παρὰ κλῆθρα: παρὰ ταῖς πύλαις. παραιτεῖται τὴν ἀκοὴν, ἐπεὶ πολλάκις ἔμελλε διαδιδόναι αὐτῇ ἃ ἤκουσεν, καὶ ἐκ τούτου πρόξενος αὐτῇ τῆς λύπης γίνεσθαι. ὁ δὲ νοῦς· σὺ παρὰ κλῆθρα ἵστασο· σοὶ γὰρ μέλει ἡ ἐκ τῶν οἴκων πεμπομένη βοή. ἐπειδὴ γὰρ καὶ σόν ἐστι τὸ πάθος, σοὶ ἐν φροντίδι ἔσται ἡ πεμπομένη φήμη ἐκ τῶν οἴκων. A.B.I.

2.403 581. ὁ τῆς φιλίππου: ὁ Ἱππόλυτος ὁ τῆς Ἀμαζόνος Ἀντιόπης 1. τ. ἡ Φ.] ἡ φ. τ. A. ib. ἢ εἰς A.B. ἢ om. I. 3. τὰ λεγόμενα] τί δὲ λεγο A. 18. παρὰ ταῖς πύλαις om. A. 7. περιπαθέστερον— λεγόμενον A. περιπαθέστερα 19. διαδιδόναι] διδόναι A. B —λεγόμενα B.I. 20. αὐτῇ] αὐτῆς A. 9. Alterum μοι om. A. Scholion ib. κλῆθρα] κλεῖθρα A. hic et in totum obliteratum in M. lemmate: B. utrobique κλῆιθρα. 10. ἡ] τῇ A. 21. μέλλει (scripsi μέλει) A. ἐν 11. γὰρ addidi ex A. deleto quod φροντίδι ἐστὶν B.I. ante οἰκονομικῶς legebatur ἤ. Matthiae ib. βοή A. φωνὴ B.I. conjecit ἀνέκοαγεν αἰ αἶ. ib. ἐπειδὴ—τῶν οἴκων addidi ex A. ib. ἱππόλυτον A.B. Fl. 6. ἱππόλυτος 24. ὁ ἱ. ὁ τῆς ἀ. A.B. ὁ τῆς ἀ. Fl. 15. ἱππολότῳ I. 13. ὦ add. A. ib. Ἀντιόπης om. A. 15. ἐφορμήσασα] ἀφορμήσασα I. παῖς τῆς φιλούσης τοὺς ἵππους, βοᾷ ὑβρίζων τὴν δούλην, ἤτοι τὴν τροφόν.

2.404 585. ἰαχὰν μέν: φωνὴν μὲν ἀκούω, αὐτὰ δὲ τὰ λεγόμενα οὐκ ἔχω σαφῶς εἰπεῖν. τὸ δὲ ὅπα ἀντὶ τοῦ ὁπόθεν καὶ ἐκ τίνος εἴη. διὰ τὸ μὴ ἀκούειν οὖν τῶν λόγων οὐδὲ εἰπεῖν δύναται τίς ἡ βοή. παραιτεῖται δὲ πάλιν οὐ θέλουσα μαρτυρεῖν τῇ δυστυχίᾳ διὰ τῆς αἰσθήσεως τῶν λεγομένων. A.B.I. ἰαχάν: γρ. ἰωάν, ἀντὶ τοῦ φωνὴν παρὰ τὸ ἱέναι καὶ ἀναπέμπεσθαι. B.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.405 ὅπᾳ: γρ. καὶ χωρὶς τοῦ καί φασι συναίρεσιν εἶναι τοῦ ὁποία. B.

2.406 589. προμνήστριαν: ἑρμηνεύτριαν, μαυλίστριαν, προξενήτριαν.

2.407 592. τί σοι μητίσομαι: γρ. καὶ μήσομαι. A. βουλεύσομαι, μηχανήσομαι. κομματικὴ δὲ ἡ διάνοια ὡς ἐν σχετλιάζοντι προσώπῳ λεγομένη. A.B.

2.408 593. τὸ ἑξῆς, διὰ δ’ ὄλλυσαι πρόδοτος ἐκ φίλων. B. ἀλλεπάλληλον τοῦτο τὸ σχῆμά ἐστιν. B.

2.409 597. φίλως μὲν, καλῶς δ̓ οὔ: προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη, καὶ παντὶ τρόπῳ τοῦτο σκοποῦσα, οὐ μέντοι καλῶς, ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος τὸ τέλος. μετ’εὐνοίας μὲν, φησὶ, καὶ οὐκ ἐξ ἐπιβουλῆς, ἀσκόπως δὲ καὶ ἀστόχως. καὶ ἔστιν ὁμοία τῇ παροιμίᾳ, εὔνοια ἄκαιρος οὐδὲν διαλλάσσει ἔχθρας.

2.410 599. οὐκ οἶδα πλὴν ἕν: τὸ ἑξῆς, οὐκ οἶδα τῶν νῦν παρόντων 1. ἤτοι B. Fl. 6. 15. ἤγουν A. tum verba usque ad σκοποῦσα legi possunt in M. 3. ἀκούω A. κλύω B.I. 19. μετ’εὐνοίας A.B. Fl. 6. 15. 4. ὅπα] ὅθεν A. κατ’εὐνοίας I. ib. καὶ] ὅθεν iterum A. 20. ἐπιβουλῆς.] ἐπιβολῆς A. 5. ἀκούειν οὖν τῶν λόγων] ἀκουόμενον ib. ἀσκόπως δὲ καὶ ἀστόχως om. I. τὸν λόγον τὸ πῶς A. ib. ἀστόχως] ἀτυχῶς A.B. ib. τίς ἡ βοή—οὐ] τίς ἐστιν ἡ αἰτία ib. καὶ ἔστιν—ἔχθρας om. A. cum tredecim literarum lacuna A. 21. εὔνοια— ἔχθρας] Zenobius 6. δυστυχίᾳ] δυναστείᾳ A. Prov. 1, 50. ἄκαιρος εὔνοι· οὐδὲν ἔχθρας 11. προμνήστριαν] δὲ add, B. ex διαφέρει: ταύτην φασὶν Ἱππόλυ\τον quo corruptum καὶ, quod est in I. εἰπεῖν πρὸς Φαίδραν φάσκουσαν φιλεῖν ib. καὶ ἑρμηνεύτριαν om. A. Gl. ἑρμηνεύτριαν τε καὶ στέργειν αὐτὸν μάλιστα ὑπὲρ est in M. πάντας ἀνθρώπους. ubi v. Schneidew ib. μαυλίστριαν addidi ex A. Est 22. νῦν om. A. in lacuna totidem vocabulum Graecitatis inferioris, de literarum. quo v. Ducang. 17. μὲν add. A.B. Prima tan- ib. παρόντων] παρόσον τῶν A. πημάτων ἄκος, πλὴν ἓν μόνον, τὸ κατθανεῖν ὅσον τάχος. οὐκ οἶδα, φησὶ, τί πρακτέον μοι ἐν τοῖς νῦν κακοῖς, πλὴν ἕν μοι ἴαμα, τὸ ἀποθανεῖν διὰ τάχους.

2.411 601. ὦ γαῖα μῆτερ: ὡς φιλόσοφος τὸν ἥλιον καὶ τὴν γῆν ἐπικαλεῖται, προσμαρτυροῦντας χάριν τῶν εἰρημένων. ἤδη δὲ προτραγῳδήσας ἱκανῶς ἐπὶ τὴν ὀργὴν Ἱππολύτου καὶ τὴν ἱκεσίαν τῆς γραὸς ἐπεξέρχεται, πρότερον ἀρξάμενος ἀπὸ τοῦ τραγικοῦ, δηλαδὴ τῆς ὀργῆς Ἱππολύτου, τὴν ἐξ ἀρχῆς ἀδολεσχίαν τῆς γραὸς καὶ τὸν ὅρκον ἀποκρυψάμενος. ὡς φιλόσοφος δὲ γῆν καὶ ἥλιον ἐπιβοᾷ, ἐπεὶ ἀρχὴ πάντων εἰσὶ, γῆ μὲν πάντων μήτηρ κατὰ Ἡσίοδον, ἥλιος δ̓ , ἐπεὶ πάντ’ἐφορᾷ καὶ πάντ’ἐπακούει. Ἀναξαγόρας οὖν τὸν ἤλιον μύδρον ἔφησε, καὶ ἐξ αὐτοῦ πάντα γίνεσθαι. ᾧ ἀκολουθήσας ὁ Εὐριπιδης χρυσέαν βῶλον αὐτὸν εἴρηκεν. ἡλίου δὲ ἀναπτυχαὶ αἱ ἀκτῖνες, καθὸ τὸ σκότος ἀναπτύσσουσι, καὶ ἡμῖν τὰ πάντα δηλοῦσι διὰ τοῦ φωτός.

2.412 602. ἄρρητον: οὐκ ἀξίαν τοῦ ῥηθῆναι καὶ ὀνομασθῆναι, ἣν οὐδὲ λόγῳ διεξιέναι καλόν.

2.413 605. ναὶ πρός σε: ναὶ, σίγησον, λίσσομαί σε πρὸς τῆς σῆς δεξιᾶς· τῆς καλὸν βραχίονα ἐχούσης· ἐνομίζετο γὰρ κατὰ τῆς δεξιᾶς ἱκετεύειν, ὡς κατὰ τῶν γονάτων.

2.414 606. μὴ προσοίσῃ χεῖρα: ὡς μυσαττόμενος καὶ τὴν δεξιὰν αὐτῆς τοῦτό φησιν, ἢ μᾶλλον φοβούμενος ἁλῶναι ταῖς ἱκεσίαις.

2.415 608. τί δ̓ , εἴπερ, ὡς φῂς: τί δὲ ἐκ τῆς διανοίας σιωπῆσαί με θέλεις, εἴπερ οὐδὲν εἴρηκας κακόν; Ἄλλως. ὁρᾷς, φησὶν, ὅτι σκέπεις τῶν εἰρημένων τὴν κακίαν τῇ σιωπῇ, ἐπεὶ εἰ καλά ἐστι, τί με 1. μόνον om. I. ib. ᾧ A B. ὃ I. ib. οὐκ οἶδα—τάχους om. A. ib. ὁ add. A. 4. τὸν ἥλιον καὶ τὴν γῆν] τὴν γῆν 13. χρυσέαν A.B. χρυσέην I. καὶ τὸν ἥλιον A. ib. αὐτὸν—αἱ] αὐτὴν—ὦ A. 7. ἐπεξέρχεται] ὑπεξέρχεται I. 14. ἀναπτύσσουσι] ἀναπτύουσι ὡς ib. πρότερον] πότερον A. ib. ἀπὸ] ὑπὸ I. ib. τὰ πάντα δ. A. δ. τὰ πάντα B.I. 8. ἱππολύτου] τοῦ ἱππολύτου I. 19. ἐνομίζετο—γονάτων om. A. ib. τὴν] τὴν δ̓ A. 9. δὲ om. A. 21."προσοίσῃ] προσοισ A. 24."Ἄλλες A.B. Εως (sic) I. 11."ἐπεὶ (ἐπὶ A.) —ἐπακούει] Ex 25. ἐπεὶ εἰ A. ἐπεὶ δὲ B.I. Hom. Od. 11, 109. 12, 323. ib. καλά] καλόν A. 12. ἔφησε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Α. ἔφη Β.Ι. ib. ἐστι] εἰσι Β. κωλύεις βοᾶν; ἔστι δὲ ὁ λόγος ἐν ἤθει ἐκ τοῦ ἀντικειμένου, εἰ δὲ μηδὲν εἴρηκας κακὸν, οὐδέν σε ποιῶ κακὸν, κἂν εἴπω.

2.416 609. ὁ μῦθος, ὦ παῖ: παραλογίζεται τὸν νεανίσκον τῇ μεταθέσει τῶν ὀνομάτων, κλέπτουσα τὴν ἀκρόασιν. δέον γὰρ εἰπεῖν οὐ κακός, φησὶν οὐ κοινός, οὐ πᾶσιν ὀφείλων ἀνακοινωθῆναι. εἶναι γάρ φησι μέχρι τινὸς καὶ καλὰ σιωπώμενα. Ἄλλως. ὁ περὶ γάμων μῦθος οὐκ ὀφείλει λεχθῆναι πᾶσι.

2.417 610. τά τοι κάλ᾽ : δεινότερον αὐτῆς ἀνεῖλε τὴν ἐκ τῶν ὀνομάτων ἀπάτην. εἰ γὰρ οὐ κοινὰ, δῆλον ὡς οὐδὲ καλά. τῷ γὰρ δημοτελεῖ τῆς ἐπιδείξεως πλέον δοξάζεται τὸ χρηστόν.

2.418 612. ἡ γλῶσσ᾽ ὀμώμοχ᾽ : οἷον οὐκ εἰδὼς ὤμοσα. οὐ γὰρ γνοὺς περὶ τίνος ὀμνύω ὤμοσα. τὰ δὲ κατὰ ἄγνοιαν τῶν ὅρκων γινόμενα συγγνώμης τυγχάνει παρὰ θεοῦ. οὐ καθολικῶς δὲ τὸ τοιοῦτον, ἀλλὰ νῦν, ἐπείπερ ἡ γραῦς, πρὶν εἰπεῖν τὸ πάθος αὐτῷ καὶ πρὶν εἰς ἔννοιαν ἐλθεῖν αὐτὸν τοῦ ῥηθησομένου, ὅρκον ἤτησε τῆς σιωπῆς καὶ τῆς διανοίας. ὁ δὲ μὴ προειδὼς ἐφ᾽ ᾧ ὤμοσεν ὤμοσε, φησὶν, ἡ γλῶσσα προπετέστερον καὶ παρὰ γνώμην τῆς φρενὸς ὀμώμοκεν. Ἀριστοφάνης καθολικώτερον νοήσας φησὶ τὸν Εὐριπίδην ὑβρίζειν τῆς γλώσσης τὴν διάνοιαν, ὡς ἂν μὴ τὰ δόξαντα τῇ διανοίᾳ φθεγγομένης καὶ μὴ κρίσει τῆς διανοίας. ἄλλως τε φαίνεται διὰ τῶν ἑξῆς τὸ εὐσεβὲς αὐτῶν φυλάττων· φησὶ γὰρ “εἰ μὴ λόγοις θεῶν ἄφρακτος ηὑρέθην,” ὥστε μηδὲ δόκησιν αὐτῷ ἐπιορκίας πλάττειν.

2.419 615. σύγγνωθ᾽ · ἁμαρτεῖν: σύγγνωθι, φησὶν, ἐπὶ τῇ ἀνομίᾳ τοῦ 1. βοᾶν Α. βοῶντα. Β.Ι. ib. ὤμοσε, φησὶν, ἡ] ὤμοσεν ἡ Α. ib. εἰ δὲ] δὲ om. Α. 17. ὀμώμοκεν Α. 2. οὐδέν] οὐδὲ Α. 18. γλώσσης Α. γλώττης Β. ib. σὲ Α. σοι Β.Ι. 19. τῇ διανοίᾳ Α. τῇ κρίσει τῆς ib. κἂν] ἂν Α. διανοίας Β Ι. 3. νεανίσκον 1. νέον Α.Β. 20. καὶ—διανοίας add. Α. 5. ἀνακοινσθῆναι] ἀνακοινοῦσθαι Α. ib. τε om. Α. 6. φησι add. Α. ib. φαίνεται Α.Β. φαίνει Ι. 7. λεχθῆναι] λέγεσθαι Α. 21. αὐτῶν] αὐτῶ Α. 9. καλά Α. τὰ καλά Β.Ι. ib. γὰρ om. Ι. 12. ὀμνύω om. Α. ib. εἰ μὴ] εἰ μὴ γὰρ Α. 13. θεοῦ] τῷ θεῷ Α. 22. ηὑρέθην Α. εὑρέθην Β.Ι. 14. αὐτῷ] αὐτ Α. ib. μήτε (correxi μηδὲ) δόκησιν 15. αὐτὸν om. Α. αὐτῷ om. Α. in lacuna. 16. ὁ δὲ om. Α. ib. πλάττειν] πράττειν Α. ib. ᾧ Α. ἃ Β.Ι. 23. ἀνομίᾳ] ἁμαρτίᾳ Ι. λόγου. εἰκὸς γὰρ ἀνθρώπους ὄντας ἁμαρτάνειν, καὶ πέφυκε τοῦτο τῆς θνητῆς φύσεως, ἁλίσκεσθαι τοῖς ἁμαρτήμασιν. Ἄλλως. διὰ τῆς κοινῆς προστασίας ἀπολύεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν.

2.420 616. ὦ Ζεῦ, τί δή: λοιπὸν καταστατικώτερον τὴν γυναικείαν διαβάλλει φύσιν, ἀναφέρων τὸ προοίμιον ἐπὶ τὴν τοῦ κρείσσονος νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντίθεσιν λύει, τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισιασμῶν παῖδας γίνεσθαι. ὁ δὲ νοῦς, διὰ τί, φησὶν, εἰς τὸ φῶς τοῦ ἡλίου τὰς γυναῖκας ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας. κίβδηλον δὲ τὸ μηδὲ δοκιμασίας δεόμενον, ἀλλὰ προφανὲς δεινόν.

2.421 617. οἰκειότατα τῷ προσώπῳ ἡ γυμνασία. πῶς γὰρ ἂν ἀφροδισιασμῶν χωρὶς ἡ φύσις συνίσταιτο; Α. Β.

2.422 618. εἰ γὰρ βρότειον: εἰ γὰρ ἤθελες εἶναι γένος τὸ ἀνθρώπων, ὤφειλες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι, ἀλλ᾽ ἕκαστον διδόναι ἢ χρυσὸν, ἢ χαλκὸν ἐν τοῖς ναοῖς, καὶ οὕτως ἀγοράζειν. τὸ δὲ ἀντιθέντας ἤτοι ἀνατιθέντας, ἢ ἀντὶ τῶν παίδων τιθέντας, εἰς σημεῖον τοῦ γενέσθαι τὴν αἴτησιν. ἀτόπως δὲ ταῦτα· οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας.

2.423 623. τῆς ἀξίας ἕκαστον: ἄμεινον τὴν ἀξίαν ἐπὶ τῆς φύσεως ἀκούειν, ὅπως χρηστός τις ὢν χρηστοῦ τύχῃ καὶ πάλιν τοὐναντίον, ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῷτο, τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος. τινὲς δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀναθήματος καὶ τιμήματος. βέλτιον δὲ τὸ πρῶτον, οἷον ἐάν τις ᾖ ἀγαθὸς τοῖς τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν, ἵνα καὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

υἱοῦ ἀξίου τὸ ἔργον καὶ ὁμοίως μεταλάβοι, καὶ πάλιν τοὐναντίον, ἐὰν ὑπάρχῃ χείρων, ἀξίου καὶ τοῦ παιδὸς τύχῃ.

2.424 624. ναίειν ἐλευθέροισι: χαριέστατον εὐτυχοῦντα τῆς ἀπουσιας τῶν γυναικῶν οἶκον ἐλεύθερον ἔχειν. A.B.

2.425 625. νῦν δ̓ ἐς δόμους: ἕδνα παρέχοντες δαπάνην ἀγοράζομεν. ἕδνα ὑπὲρ τῆς μνηστείας καὶ πρὸ τῆς πείρας τοῦ κακοῦ κατατιθέμεθα, ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι. δύναται δὲ τὸ πρῶτον καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι, πρῶτον μὲν τὴν οὐσίαν ὑπὲρ κακοῦ δίδομεν, καὶ τὰ ἑξῆς. προκατασκευάσας οὖν λογισμὸν οἰκειότατον τῷ προσώπῳ λοιπὸν κατατρέχει καὶ ἐπὶ τὴν διαβολὴν τῆς γυναικείας φύσεως. ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτὰς, εἶθ̓ οὕτως ἄρξασθαι τῶν διαβολῶν. τὸ δὲ ἑξῆς ἄριστα ὡς ἐκ συγκρίσεως ἐπιφέρεται. A.B.I. ἄξεσθαι: ἀγαγεῖν. A.

2.426 626. ἐκτείνομεν: ἀποδίδομεν, παρέχομεν. M. ἐκτίνομεν: παρέχομεν. Fl. 2.

2.427 628. προσθεὶς γάρ: ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι πρᾶγμα, ὥστε ἀπαλλαγῆναι αὐτὸν τοῦ κακοῦ, καὶ οὕτως τὴν φύσιν τῆς παιδοποιίας εἰς αὐτὴν σώζει ὁ πατὴρ τὴν ἀπαλλαγὴν, ἀντὶ τοῦ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλλασσόμενος. ἄγαλμα δὲ πᾶν ἐφ̓ τις ἀγάλλεται. ἀγάλλεται δὲ καὶ ὁ ἀνὴρ ἐπὶ τῷ γάμῳ, ὡς ἀνδριάντι ἀναισθήτῳ τιμὰς περιάπτων. λείπει δὲ τὸ ὡς, ὡς ἀγάλματι.

2.428 630. ἀτηρόν: ἐπιζήμιον, ἐπιβλαβές. ἄτης ἢ βλάβης παρεκτικόν. B. λαβεῖν εἰς δόμους ἀτηρὸν φυτόν: γρ. ἀτηρὸν ἐν δόμοις κακόν. M.

2.429 632. καλὸν κακίστῳ: τουτέστι τὸν χρυσὸν τῷ κακίστῳ γυναικείῳ φυτῷ προστιθεὶς, ὡς ἀγάλματι, χαίρει.

2.430 ἐκπονεῖ: καινοτομεῖται, κοπιᾷ. M. ἐξασκεῖ. Fl. 2.

2.431 633. ὄλβον δωμάτων ὑπεξελών: καινοτομῶν τὸν οἶκον αὐτοῦ. M.

2.432 634. ἔχει δ̓ ἀνάγκην: ταῦτα διεξέρχεται, πάνιη τὸ πρὸς τὴν γυναῖκα μοχθηρὸν ἀποδεικνὺς, ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν, ἀλλὰ καὶ τοὺς γάμους εἰ καλῶς σχοίη. διπλῆ δέ ἐστι πρὸς τὴν 2. ἐλεύθερον ἔχειν B. χαριέστατον ζει αὐτὴν ὁ πατὴρ τὴν ἀ. εἰπεῖν A. ib. τοῦ add. A. 6. οὐσίαν Heathius pro θυσίκν. | 17. τῆς π.] τοῦ π. Fl. 6. 15. 7. καὶ τὰ ἑξῆς om. A. ib. ἄγαλμα δὲ] ἀγάλματι (lemma) ib. προκατασκευάσας οὖν λογισμὸν] A. προκατασκευὰς δὲ λογισμῶν A. ib. πᾶν om. I. δὲ om. A. 8. οἰκειότατον] οἰκειότατα I. 18. ἀνὴρ A. πατὴρ B. I. 14. προσδίδωσι] προδίδωσι A. ib. δὲ om. A. Alterum ὡς om. I. 15. οὕτως A. οὔτε B.I. 28. γάμους] γαμβροὺς A. 16. εἰς αὐτὴν post παιδοποιίας A., ib. καλῶς σχοίη] ταὐτὸ χρΐη (sic) post πατὴρ B.I. In Fl. 15. est σώ- A. στιγμὴν ἡ ἀνάγνωσις. τινὲς γὰρ οὕτως· εἰ δὲ κακὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστοὺς, ἀναγκάζεται στέργειν, εἰ τὰ κεχαρισμένα ἐκείνων πράττειν θέλοι. τινὲς δὲ οὕτως στίζουσιν εἰς τὸ ἔχει δ̓ ἀνάγκην, ἵν̓ ᾖ, ὅτι πάντη τε καὶ πάντως ὁ γαμήσας ἐλεύθερος εἶναι οὐ δύναται, ἀλλὰ τὸ ἀναγκάζον καὶ καταδουλοῦν αὐτὸν ἔχει. ἐὰν μὲν γὰρ κακῆς τύχῃ γυναικὸς, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γαμβρῶν ἕνεκα καλῶν ὄντων, ἢ δἰ ἐκείνην ἀναγκάζεται ἀπολαύειν γαμβρῶν ἀχρήστων. τὸ σώζεται δὲ πικρὸν λέχος ἀντὶ τοῦ σώζει. γαμβροῖς δὲ τοῖς πενθεροῖς λέγει, συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέντοι τῷ πενθεροὺς δ̓ ἀνωφελεῖς ὑγιῶς κέχρηται.

2.433 638. ῥᾷστον δ̓ ὅτῳ: βέλτιον δὲ μήτε πενθερὸν χρηστὸν μήτε γυναῖκα χρηστὴν ἔχειν. Ἄλλως. ὠφελιμώτερόν ἐστιν ᾧτινι, φησὶ, τὸ μηδὲν οὖσα πρὸς σύνεσιν γυνὴ, ἀλλ̓ ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται, οὐκ ἔργοις, ἀλλὰ θέᾳ τέρποντος τὸν κεκτημένον.

2.434

Eulogikon public reading copy · View original HTML at eulogikon.org

642. τὸ γὰρ κακοῦργον: τὸ γὰρ κακοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλέον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γενόμεναι εὐέμπτωτοι διὰ τὸ βραχὺ τῆς γνώμης καὶ ἄδολόν εἰσιν εἰς τὸ ἁμαρτάνειν, ἡ δὲ ἀποροῦσα καὶ ἀνόητος τὴν πορνείαν ἀφῄρηται, τουτέστιν οὐχ ἁμαρτάνει.

2.435 644. μωρίαν ἀφῃρέθη: τουτέστι τῆς ἁμαρτίας ἀπεστερήθη, ἤτοι 1. κακὸν A. καλὸν B.I. 12. φησὶ ante ᾧτινι A. 2. ἀναγκάζεται στέργειν εἰ] ἀναγκὰζει 14. ὡς ἐπὶ—ἵδρυται om. A. ἄγειν αὐτοῦ ἐκεῖνα A. ib. τέρποντος] τέρπουσα A. ib. στέργειν, εἰ τὰ Heathius pro 16. κακοῦργον bis A. Fl. 6. πανοῦργον B.I. In B. supra versum στέγειν τά. 3. ἐκείνων B. Fl. 6. κείνων I., (ad κακοῦργον) γρ. καὶ πανοῦργον. Prima om. A. scholii verba τὸ πανοῦργον—ἐμφύει ib. θέλοι] θέλω B. Fl.6. θέλ) A. habet M. 4. ὁ γ. ἐλεύθερος A.B. ἐλεύθερος ὁ 17. πλέον] πλεῖον A. B. Fl. 6. πλειον M. In B. gl. πλέον ἐμβάλλει. 7. γαμβρῶν A. γάμων B.I. 18. εὐέμπτωτοι] εὐέπτωτοι A. 8. τὸ om. A. ib. διὰ τὸ —ἄδολον post ἀνόητος 9. γαμβροῖς δὲ A. καὶ γαμβροῖς transponit Matthiae. 20. ἀφῄρηται] τὴν ἁμαρτίαν ἀφῃρέθη 10. μέντοι] μὲν A. add. A. ib. κέχρηται] κεχρῆσθαι A. 21. τουτέστι om. A. 11. δὲ] ἐστι Fl. 6. 15. ib. ἁμαρτίας] μωρίας A. ib. χρηστὸν om. I., sed habet lin. ib. ἤτοι τῆς om. A. 12. pro χρηστήν. τῆς πορνείας. μωρίαν γὰρ τὴν πορνείαν, ὅθεν καὶ σινάμωρος ὁ πόρνος. αὕτη γὰρ σκέπειν οὐκ ἔχουσα τὸ πλημμέλημα πρόφασιν κερδαίνει τὴν σωφροσύνην.

2.436 645. χρὴ δ̓ εἰς γυναῖκας: ἤδη διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πρόξενοι τῶν κακῶν, λοιπὸν ἐπὶ τὴν διοίκησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει, πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει, φησὶ, τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐταῖς συνοικίζειν, ἵνα κἂν τῇ ἀπορίᾳ τῆς διακονίας νικῶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μάλιστα πρὸς τὸ παράφορον εἴρηκεν. δάκῃ δὲ περιφραστικῶς τὰ θηρία, ἢ τὰ ἔκγονα τῶν θηρίων.

2.437 649. νῦν δ̓ αἱ μὲν ἔνδον: αἱ μὲν δέσποιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακὰ, αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν.

2.438 651. ὡς καὶ σύ γ̓ ἡμῖν: ἀντὶ τοῦ ἐπεί. τὸ ἑξῆς, ὁπότε καὶ σὺ, κάρα κακὸν, τῶν ἀθίκτων λέκτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἡμῖν ἦλθες, ἅπερ, ἤτοι τὰ εἰρημένα, ἐγὼ ἀποκαθαρθήσομαι ῥευστικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα τῶν ἱσταμένων διαυγέστερα τυγχάνει.

2.440 654. εἰς ὦτα κλύζων: εἰσκλύζομαι τὰ ὦτα, δἰ ὧν μετέλαβον τῆς ἀνομίας τῶν λόγων. πῶς οὖν μέλλω ἐξαμαρτεῖν πεισθείς σοι; .

2.440 656. εὖ δ̓ ἴσθι τοὐμόν: οὐκ ἔστι φορτικὸς ὁ λόγος, ἀλλὰ μᾶλλον τῆς ὑποψίας τοῦ ἁμαρτήματος θεραπευτικός. ἢ τάχα προτραγῳδεῖ τὸ πάθος τοιοῦτον μικρὸν ὕστερον, ἐπὶ καταγνώσει μοιχείας ποιῶν κατηγορούμενον.

2.441 657. εἰ μὴ γὰρ ὅρκοις: ἀντὶ τοῦ εἰ ἐλήφθην καὶ εὑρέθην ἀπαραφύλακτος εἰς τὴν κατὰ σοῦ κόλασιν. τὸ δὲ μή καὶ οὐ μίαν κατάθεσιν ποιοῦσιν, ὥστε τὸ ἓν ἐξήρκει εἰπεῖν, ἵν’ᾖ οὐκ ἄν ποτε ἀπεσχόμην τοῦ εἰπεῖν.

2.442 659. νῦν δ̓ ἐκ δόμων μέν: ἤτοι διὰ τὸ μὴ μετασχεῖν τοῦ μίσους αὐτῆς, ἢ διὰ τὸ δεδοικέναι τινὰ ἐξ αὐτῶν ἐπιβουλήν. ἄλλως τε καὶ ὁ ποιητὴς οἰκονομικώτατα τοῦτο ἐξεργάζεται, διὰ τῆς τοῦ Ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ Φαίδρᾳ ἐργάσασθαι τὴν ἀγχόνην, καὶ τὴν διαβολὴν αὐτοῦ τὴν διὰ τῶν γραμμάτων, ἵνα ἡ δέλτος καὶ ἡ τοῦ Ἱππολύτου ἐρημία πιστώσηται τὴν κατηγορίαν τῆς μοιχείας.

2.443 661. θεάσομαι δέ: συνεπιστὰς δὲ τῷ πατρὶ θεάσομαι ποίοις ὄμμασιν αὐτὸν προσβλέψετε, ὑπὸ τῆς συνειδήσεως μὴ καταπληττόμεναι.

2.444 663. τῆς σῆς δέ: καὶ πάντως τότε τὸ ἀναιδές σου καὶ τολμηρὸν διαγνώσομαι, πεπειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων. B.I.

2.445

Eulogikon public reading copy · View original HTML at eulogikon.org

664. μισῶν δ̓ οὔποτ̓ἐμπλησθήσομαι: οὐδαμῶς χορτασθήσομαι κακῶς λέγων τὰς γυναῖκας. ταῦτα δὲ λοιπὸν ὡς τεχνίτης ῥήτωρ. B.I.

2.446 665. οὐδ̓ εἴ φησι: οὐδ̓ ἄν μοι εἴπῃ τις τοῦτ̓ἐπὶ ὀνείδισιν διὰ τὸ ἀεὶ αὐτὰς λέγειν κακάς. M. οὐδ̓ εἰ λέγοι μέ τις εἶναι κατὰ φύσιν φιλαπεχθήμονα πρὸς αὐτάς. οὐ γὰρ ἐκ παρέργου φησὶ τὰς κατηγορίας, τῷ συνεχεῖ δὲ τῶν πλημμελημάτων ὑπόθεσις γινόμεθα τοῖς κατηγόροις.

2.447 668. τάλανες: ἀπὸ κοινοῦ πάλιν ἀτυχήματος πειρᾶται παραμυθεῖσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος, τίνα νῦν ἢ τέχνην, ἢ λόγον 1. τοῦ εἰ A. εἰ om. B.I. ib ἄλλως τε καὶ ὁ π. om. A. ib. ἀπαραφύλακτος] ἀπεριφύλακτος 7. οἰκονομικώτατα A. οἰκονομικῶς.B.I. ib. τοῦ om. A. 2. τὸ μὴ καὶ οὐχὶ μ. κ. ποιεῖ est in 9. τῶν om. A. M. Et (ad ἐξειπεῖν κακά) γρ. τῷ πατρί. 10. τοῦ Ἱππολύτου post ἐρημία A. 3. ἐξήρκει] ποιεῖν ἢ add. Fl. 6. 15. 13. προσβλέψετε] προβλέψαιτο A. ib. ἵν̓ἦ—εἰπεῖν add. A.B. Fl. 6. 22. με] μέν A. 15., om. I. 23. αὐτάς] ἡμᾶς A. 5. μίσους] μύσους A.B. 24. γινόμεθα A. γίνονται B.I. 6. αὐτῆς Barnesius pro αὐταῖς. 27. δὲ om. A. ib. ἐπιβουλήν] ἐπιβουλίαν A. ib. τέχνην] ἢ τύχην addit I. ἔχομεν πορίσασθαι, δἰ οὗ δυνησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγκλημάτων ἀπολύσασθαι, τὸν δεθησόμενον καθ̓ ἡμῶν ὑπὸ τοῦ Ἱππολύτου, ὅταν ἔλθῃ ὁ Θησεύς.

2.448 670. τίνα νῦν: τουτέστι πῶς καθ̓ ἕκαστον δεσμὸν κατηγορίας ἀπολυσόμεθα τὰ ἐγκλήματα τοῦ Ἱππολύτου, σφαλεῖσαι τῆς ἐλπίδος, δἰ ἧς προσεδοκῶμεν πεῖσαι αὐτὸν ἐπὶ τὴν ἁμαρτίαν.

2.449 671. καθ̓ ἅμμα λύσειν: παρὰ τὴν παροιμίαν, ἥτις ἐστὶν, οὐχ ἅμμα λύσεις. εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας· τοῖς Φρυξὶ λόγος ἐδόθη ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας ὃς ἂν τῆς ἀπήνης λῦσαι τὸν δεσμὸν δυνηθείη, τῆς κομισάσης Μίδαν εἰς τρυγίαν, ὃς ἦν ἀμπέλινος, ᾧ συνεδέδετο ὁ ζυγὸς καὶ ὁ ῥυμός. λόγος δὲ Ἀλέξανδρον διαλῦσαι ἐξελόντα τὸν ἔμβολον, ᾧ κατείχετο ὁ ῥυμὸς, ἢ τῷ ἐγχειριδίῳ ἀποτεμόντα, μετὰ τὴν ἐπὶ Γρανίκῳ μάχην. γέγονε δὲ ὁ Ἀλέξανδρος κατὰ τοὺς Εὐριπίδου χρόνους. παροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δύσλυτόν τι ἐπιχειρούντων λῦσαι. Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδόνων ἱστοριῶν φησιν οὕτως· τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῷ ῥυμῷ προσδεδέσθαι κλήματι ἀμπελίνῳ. ἔστι δὲ λόγιον, ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ βασιλεύσει τῆς Ἀσίας. Ἀλέξανδρον δέ φασι τὸν Μακεδόνων βασιλέα λῦσαι αὐτόν· ὃς διαβὰς τὸν Ἄμμαντιν ἐπὶ Γρανίκῳ μάχην ἐνίκησε, καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ, ποῦ κατέκειτο, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ διακόψαι αὐτὸν τὸν δεσμὸν, καὶ ταύτην εἶναι τὴν λύσιν, οἱ δὲ, ὡς τὸν ἔμβολον ἐξέλοι, συνείχετο ὁ ζυγὸς πρὸς 8. λύσεις Barnesius. λύσις libri. τὴν ἐπὶ Γρανίκῳ μάχην MATTH. Apud paroemiographos et Hesychium 14. δύσλυτον] δυσλύτων I. κάθαμμα λύεις. 15. λῦσαι A. λύσειν B. λύσιν I. 9. βασιλεύειν A.B. unde βασιλεύσειν 17. προσδεδέσθαι] δεδέσθαι I. correxi. βασιλεῦσαι I. Scholii ib. κλήματι] καὶ κλήματι A. similis brevioris vestigia in M. relicta . . . ib. δὲ om. A. φρυξὶ χρηστήριον . . . ἀσίας ὃς ἂν 18. λύσῃ B. λύσει A.I. τῆς. . . δεσμὸν λῦσαι δυνηθείη . . . σάσης. . . 19. φασι] φησι A. ib. τὸν δεσμὸν post δυνηθείη A. ib. τὸν] τῶν A. 13. γέγονε δὲ—] Mihi haec verba ib. τὸν ἄμμαντιν A. corrupte. τινὰ a seriore grammatico inserta esse μάντιν B. Fl. 6. 15. I. τὸν Ἑλλήσποντον videntur, qui, ut explicaret quomodo Barnesius. proverbium hoc ab Eurip. 21. ποῦ κατέκειτο A.B.I. ὅπου ἔκειτο indicari potuerit, ab Alexandro vetustiore Fl. 6. 15. illo, qui pugnae Plataeensi 22. διακόψαι] κόψαι I. interfuit, ductum esse sibi persuasisset, ib. τὸν δεσμὸν] τῷ δεσμῷ A. non cogitans hujus non esse 23. ὁ ζυγὸς] ὁ δεσμὸς τὸν ζυγὸν A. τῷ ῥυμῷ, περιειλημμένον δὲ εἶναι καὶ τοῦτο κλήματος. τούτου δὲ ἐξαιρεθέντος καὶ τοῦ δεσμοῦ χαλάσαντος, οὕτως λυθῆναι τὸν δεσμὸν τοῦ ῥυμοῦ.

2.451 672. ἐτύχομεν δίκας: μετάγεται πάλιν ἡ σκηνὴ εἰς θάτερον μέρος, τουτέστιν ἐπὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καὶ τὴν τοῦ χοροῦ συμπάθειαν, τραγικώτατα εἰς ἄλλον οἶκτον μετιόντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάλιν τοῦ ποιητοῦ. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς μιμεῖται αὐτὸ τὸ πάθος διεξιὼν, ὅπερ εἰώθασι πολλάκις ποιεῖν οἱ ἀξίων ἀποροῦντες θρήνων. δικαίως, φησὶν, ἐτιμωρήθημεν, καὶ τῆς ἀξίας δίκης παρὰ θεοῦ ἐτύχομεν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται, ὡς ἀναιτιώτατα στοιχεῖα, καθὼς καὶ ἄνω φησὶν “ὦ γαῖα μῆτερ, ἡλίου τ᾽ἀναπτυχαί.” .

2.451 673. ἐξαλύξω: πότε ἐκφύγω τὰς δυστυχίας. τὸ δὲ κομματικὸν τῆς διανοίας ἐκτόπως ὑπέγραψε τὴν ἀπορίαν τῆς συμφορᾶς. B.

2.452 675. ἀρωγός: φανείη δηλονότι. τοῦτο γὰρ ἀπὸ κοινοῦ. B.

2.453 678. παρὸν δυσεκπέρατον: ἢ ἐν ὑπερβατῷ, ἵν᾽ ᾖ οὕτως· τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστιν. ἢ οὕτως· τὸ γὰρ νῦν πάθος παρὸν παντὸς τοῦ βίου καὶ τῶν ἐν αὐτῷ δυσφοριῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως· τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον, καὶ δυσχερῶς ἂν αὐτὸ φύγοιμι. δυσεκπέρατον: δυσμεταχείριστον. Fl. 2. δύσκολον A.

2.454 680. φεῦ φεῦ: προϊούσης τῆς τροφοῦ κατηφοῦς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος, καὶ ἐπὶ τοῦ πέπρακται δεῖ στίζειν. οὕτω γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ “κοὐ κατώρθωται τέχνη,” ἀντὶ τοῦ οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς δούλης, ἀλλὰ καὶ κατέστρεψαν.

2.455 683. Ζεύς σ᾽ ὁ γεννήτωρ: Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε, φησὶν, ἐκριζώσειε καὶ παντελῶς ἀπολέσειεν, οὐτάσας πυρὶ, ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ σύνεγγυς τρῶσαι, βαλεῖν δὲ τὸ πόρρωθεν.

2.457 685. οὐκ εἶπον—σιγᾶν: ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως· οὐκ εἶπον σιγᾶν ἐφ᾽οἷς κακῶς διάκειμαι, ἢ διάγω καὶ νοσηλεύομαι τουτέστι τὸν ἔρωτα. ὁ δὲ νοῦς, οὐχὶ τὸ προπετὲς τῆς διανοίας προνοουμένη ἐκέλευον σιωπᾶν καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν; .

2.457 687. τοιγὰρ οὐκ ἔτ᾽εὐκλεεῖς: διὰ τοῦτο γὰρ οὐκ εὔδοξοι γεγόναμεν, ἐπειδὴ οὐκ ἤκουσάς μου. B.

2.458 689. συντεθηγμένος φρένας: ἀντὶ τοῦ ὀργισθείς. M. ἠκονημένος ὑπὸ τῆς ὀργῆς. M.

2.459 693. ὄλοιο καὶ σύ: γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο, φησὶ, παρὰ γνώμην μου εὐεργετῆσαί με θελήσασα, καὶ πᾶς ἄλλος ταὐτά σοι δρῶν καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργετεῖν. ἄντικρυς δὲ ἐλέγχων τὸ ψευδώνυμον τῆς τοιαύτης εὐεργεσίας μὴ καλῶς προσέθηκεν.” οὐ γὰρ οἶδε φύσις εὐεργετήματος ἀνάγκην ἐπιδέχεσθαι, εἴτε τὰς χρείας καταθυμίους δεῖ ποιεῖσθαι.

2.460 695. δέσποιν᾽, ἔχεις μέν: καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν, ἵνα οὕτως καὶ αὕτη τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξηται. ἑξῆς δὲ πάλιν εἰς εὔνοιαν αὐτὴν προάγειν βούλεται, τὸν σκοπὸν τῆς μηνύσεως, καθ᾽ ὃν γεγένηται, λέγουσα. τὸ δὲ ἑξῆς οὕτως· ἔχεις μὲν δικαίως τὰ ἐμὰ πταίσματα μέμψασθαι. παραιρεῖται γάρ σου τὸ 1. Ζεύς σ᾽ ὁ—ἀπολέσειεν om. A. 17. ἄντικρυς] ἄντικρυ A. 2. ἐκριζώσειε B. Fl.6.15. ἐκτρίψειε I. ib. δὲ om. I. 3. τῷ κεραυνῷ et δὲ om. A. ib. ἐλέγχων τὸ ψ. om. A. in lacuna. 4. ἐκ χειρὸς καὶ om. A. Est observatio 18. προσέθηκεν] ἐμοὶ δὲ καὶ ἐξ εὐεργετήματοις Aristarchi: vid. Lehrs. de ἂν οὐκ ἔστι addit A. Arist. p. 62. ib. οὐ γὰρ—ἀνάγκην om. A. 5. σύνεγγυς] ἐγγὺς A. 19. ἐπιδέχεσθαι] δέχεσθαι A. ib. βαλεῖν δὲ τὸ πόρρωθεν om. A. ib. θυμίους δεῖ ποιεῖσθαι om. A. in 7. διάκειμαι, ἢ (ἤτοι B.) om. A. lacuna. 9. ἐκφαίνειν] ἐμφαίνειν A. 21. καὶ αὕτη om. A. 15. θελήσασα] θέλουσα A. 22. εὔνοιαν] ἔννοιαν B.I. 16. ἄλλος] ἄλλως I. 23. γεγένηται] γένηται A. γεννᾶται ib. ταὐτά Barnesiu pro ταῦτα. Fl. 6. γε γίνεται Fl. 15. ib. δρῶν] ὃ οὖν A. ib. δὲ om. A. ib. ἄκοντας] ἄκων γὰρ A. 24. παραιρεῖται A. παραιτεῖται B.I. λογιστικὸν ἡ λύπη, καὶ τὴν αἰτίαν τοῦ πταίσματος γινώσκειν οὐ συγχωρεῖ σοι. αἰτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς· ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακὰ, ὦ δέσποινα· τὸ γὰρ λυποῦν σε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρατεῖ, ὅθεν καὶ μέμφῃ μοι. εἰ γὰρ μὴ ἐγένετο, οὐκ ἂν ἐμέμφου, ἀλλ̓ ἐπῄνεις. ὅθεν ἐπιφέρει “πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα.” ἡ μὲν κατασκευὴ τοῦ λογισμοῦ τῆς εὐνοίας ἀπόδειξις, ἡ δὲ τῆς ἀποτυχίας δυσχέρεια τῆς τύχης κατηγόρημα.

2.461 700. εἰ δ̓ εὖ γ̓ ἔπραξα: εἰ καλῶς, φησὶν, ἔπραξα καὶ μὴ ἐσφάλην τῆς ἐλπίδος, ἐθαυμάζετό μου τὸ βούλευμα. οὐκ ἄρα ἡ ἐμή σε βουλὴ ἠδίκησεν, ἀλλ̓ ἡ τύχη· εἰ γὰρ καλῶς ἀπέβη τὸ πρᾶγμα, ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων τῆς τροφοῦ.

2.462 702. ἦ γὰρ δίκαια ταῦτα: ὀργίζεται καλῶς ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν, φησὶ, δίκαιόν ἐστι τοῦτο καὶ οὐχὶ φανερῶς ἄτοπον, τὸ καὶ ἐθέλειν σε ἰσολογεῖν μοι, καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν τρώσασάν με· ἐξαρκοῦντα δέ μοί ἐστιν, ἤγουν ἱκανὰ πρὸς θεραπείαν τῆς βλάβης.

2.463 704. μακρηγοροῦμεν: ἀντὶ τοῦ μάτην φλυαροῦμεν καὶ ἐπεκτείνομεν τὸν λόγον ἐπὶ τοῖς ἤδη πραχθεῖσιν. οὐκ ἐσωφρόνουν ἐγώ. ὁμολογεῖ ἡμαρτηκέναι, ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν. ὁμολογῶ, φησὶ, τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης, ἀλλ̓ ἐξ ἐμῆς ἀνοίας γεγενημένον.

2.464 710. ὑμεῖς δὲ, παῖδες: μεταστρέφει τὸν λόγον νῦν πρὸς τὰς γυναῖκας τοῦ χοροῦ. αἱ δὲ ὀμνύουσιν οἰκονομικῶς καὶ σιωπᾶν ἐπαγγέλλονται. λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως.

2.465 715. ἓν δὲ προτρέπουσα: ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα. 1. γινώσκειν] γιγνώσκειν A. 13. 14. οὖν et τὸ om. A. 2. νοῦς A. νοῦς ἔχει οὕτως B.I. 15. ἤγουν addidi ex A. 3. μὲν] δέσποινα A., omisso proximo 17. ἀντὶ τοῦ om. A. ὦ δέσποινα. 19. ἡμαρτηκέναι] τὸ ἁμάρτημα A. 4. καὶ om. A.B., ἂν om. A. 20 τὸ om. A. 5. γὰρ] καὶ A. 21. γεγενημένον A. γενόμενον B.I. 6. εὐνοίας] ἐννοίας B.I. 22. μεταστρέφει τὸν λόγον νῦν A. 8. ἔπραξα hic et in lemmate μεταστρέφεται νῦν B.I. A.B. Fl. 6. ἔπραττον utrobique I. 23. αἱ δὲ ὀμνύουσιν] Pro his lemma 9. βούλευμα A. βούλημα B.I. ὄμνυμι σεμνήν habet A. 11. ἂν et ἄλλη et τῆς om. A. ib. καὶ σιωπᾶν ἐπαγγέλλονται] ὁ ib. κρείττων] κρεῖττον A. χορὸς ἐπαγγέλλεται A. 12. ὀργιζεται—τῷ] ὁρίζεται—τὸ A. 25. ἀντὶ τοῦ et καὶ ἐξερευνῶσα 13. 14. ἐθέλειν] θέλειν A. om. A. μετατρέπουσα, φησὶ, καὶ πολλὰ δοκιμάζουσα, καὶ εἰς πολλὰ μεταφέρουσά μου τὴν γνώμην, ἓν μόνον ἴαμα τῆς συμφορᾶς εὗρον.

2.466 719. οὐ γάρ ποτ̓αἰσχυνῶ: ὅτι Μίνως βασιλεὺς τῶν Κρητῶν ἐγένετο, ὁ πατὴρ αὐτῆς. καὶ διὰ τοῦτο Κρησίους δόμους λέγει.

2.467 721. οὕνεκα ψυχῆς μιᾶς: ἀντὶ τοῦ διασταλτικοῦ τὸ μιᾶς εἶπε. A. ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα πολλὰς ἑτέρας διασώσω, τὰς τῶν οἰκείων δηλονότι, ῥυσαμένη τῆς αἰσχύνης. οὐχ ὑπερτιμήσω οὖν τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν.

2.468 724. καὶ σύ γ̓ εὖ με νουθέτει: ἀπειλητικώτερον εἴρηται ὁ λόγος, ὡς εἰ ἔλεγε, μὴ καὶ σὺ ζήλου τῆς τροφοῦ τὴν παραίνεσιν μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με, ἅ ἐστιν ἐπιζήμια καὶ φαῦλα, ἀλλὰ πρὸς τὸ συμφέρον με νουθέτει.

2.469 728. ἀτὰρ κακόν γε: καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ, ἀντὶ τοῦ τῷ Ἱππολύτῳ, διὰ τῆς κατηγορίας, ἵν̓εἰδῇ, κοινῇ ταύτης μοι μετασχὼν τῆς νόσου, μετριάζειν, καὶ μὴ ὑψηλοφρονεῖν ἐπὶ ταῖς ἑτέρων δυστυχίαις.

2.470 732. ἠλιβάτοις: ἀντὶ τοῦ βαθυτάτοις. ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλὸν, ἀλλὰ καὶ τὸ βαθὺ, οὗ ἔστιν ἀλιτεῖν τῆς βάσεως. κευθμῶσι δὲ τοῖς ἐρήμοις καὶ κεκρυμμένοις τόποις, καὶ πάσης συντυχίας ἀνθρώπων χωρίς. τὸ ἑξῆς οὖν οὕτως· πτεροῦσσάν με ὄρνιν θείη θεὸς, ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι, καὶ πλεῖστον ἄποπτος εἴην τοῦ ἀνθρωπίνου γένους. ἀφανισμὸν δὲ καὶ μεταβολὴν τῆς φύσεως ἐπεύχεται ἑαυτῷ ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ, ἤτοι πρὸς τὸ ἄπειρος 1. μεταφέρουσα] μετατρέπουσα A. ib. τὸ ἑξῆς—ἀνθρωπίνουγένους, om. A. 3. τῶν κ. ἐγένετο] ἐγένετο τῶν κ. ib. πτεροῦσσαν—] Similehis scholion in A. (cum lemmate ἵνα με

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτεροῦσσαν 4. ὁ om. A. ὄρνιν) πτεροῦσαν μὲν ὄρνιν θείη— 8. ὑπερτιμήσω] ὑπὲρ τιμῆς I. ἄποπτος εἴην ἀνθρωπίνου (sine τοῦ) γένους. 10. τῆς τροφοῦ τὴν παραίνεσιν A. ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ ἀφανισμὸν τὴν τροφὸν τῆς παραινέσεως B.1. καὶ μεταβολὴν τῆς φύσεως ἑαυτοῦ 11. ἐκείνῃ A.B. ἐκείνη 1. κατεύχεται, ἵνα ἄπειρος τῆς ἐφεξῆς μείνῃ 12. συμφέρον A.B. χρηστὸν εὖ I. συμφορᾶς. ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι 13. καὶ ἄλλῳ] καὶ om. A. τῇ φαίδρᾳ τῆς κατὰ ἱππολύτου 14. διὰ τῆς κατηγορίας om. A. διαβολῆς καὶ μέλλει τηλικαύτην ἁμαρτίαν 16. ἐπὶ om. I. εἰς ἑαυτὸν ἐπισπᾶσθαι. πρὶν οὖν 18. οὔ ἔστιν ἀλιτεῖν om. A. ἐπιστῆναι αὐτῷ τὸν καιρὸν ἀπαλλαγῆναι 19. τοῖς et καὶ utrumque om. A. τῆς φύσεως ἐπεύχεται. πρὸς τὸν ἀδρίαν ib. κ. τόποις] τόποις κ. A. δὲ καὶ τὴν κελτικὴν etc. 20. ἀνθρώπων] ἀνθρώπου A. 21. ἄποπτος] ἄπτωοτος (sic) I. γενέσθαι τῶν ἐπικαταληψομένων συμφορῶν, ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῇ Φαίδρᾳ, εἰς τὴν κατὰ τοῦ Ἱππολύτου διαβολὴν, καὶ τηλικαύτην ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ᾽αὐτοῦ. πρὶν οὖν ἐκεῖνον ἐπιστῆναι αὐτῷ τὸν καιρὸν, ἀπαλλαγῆναι τῆς φύσεως ἐπεύχεται. ἢ ὅπερ ἄμεινον, καταγνοῦσα τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τῶν παρόντων κακῶν ἄριστα παιδευθεῖσα, ὄρνις εὔχεται εἶναι πρὸς τὸ μηδὲ συντυχίας ἢ θέας ἀπολαύειν ἀνθρώπων. τοῦτο γὰρ τὸ ζῶον καθαρώτατόν ἐστι παρὰ πάντα· διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται. καὶ τῇ πτήσει μᾶλλον τῶν ἄλλων ζώων ἐκτοπίζεσθαι τῶν ἀνθρώπων δύναται, ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπου ἐπιστάντος ἀνίπτασθαι καὶ νικᾶν τῇ πτήσει τὴν τούτου θέαν. πρὸς τὸν Ἀδρίαν δὲ καὶ τὴν Κελτικὴν ἀρθῆναι εὔχεται οἰκείως τοῖς πεπραγμένοις, καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναδεξαμένων. ἐν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ εἰς βοῦν μεταβληθεῖσα κατὰ βούλησιν Ἥρας διεπέρασε τὸ ἀπ᾽ αὐτῆς Ἰόνιον πέλαγος κληθέν· ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες κόραι τὸν Φαέθοντα δακρύουσαι εἰς φηγοὺς μετεβλήθησαν.

2.471 735. γενοίμην, φησὶν, ὄρνις, εἰ ἦν δυνατὸν καὶ πελάγη διίπτασθαι, καὶ ἀρθείην καὶ μετεωρισθείην ἐπὶ τὸ θαλάττιον κῦμα τῆς Ἀδρίου ἀκτῆς καὶ ἐπὶ τὸ τοῦ Ἠριδανοῦ ὕδωρ. M. αὐτὸν τὸν Ἠριδανόν φησιν· αἱ γὰρ αἴγειροι ἐν αὐτῷ τρέφονται. M.

2.472 736. κῦμα τᾶς Ἀδρηνᾶς: τὸ πόντιον κῦμα ἀντιδιασταλτικόν ἐστι τοῦ ῥεύματος τοῦ Ἠριδανοῦ. ὁ δὲ Ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ Ἰταλίᾳ. ὁ δὲ Ἠριδανὸς ποταμὸς Κελτικῆς. ἐν τούτοις δὲ ἄρα εὔχεται μάλιστα τοῖς τόποις εἶναι, ὡς πειραθεῖσι συμφορῶν· 1. συμφορῶν] ἢ πρὸς τὸ μὴ ἀναγκασθῆναι 14. κατὰ A. B. Fl. 6. 15. διὰ I. ψευδομαρτυρεῖν κατὰ ἱππολύτου 15. ἐν δὲ—δακρύουσαι] ἐν δὲ τῷ ἠριδανῷ addit A. αἱ (αἱ om. A.) ἡλιάδες κόραι τὸν ib. ἢ ἐπειδὴ—φύσεως εὔχεται om. A. φαέθοντα δακρύουσαι A. (nisi quod 2. εἰς om. I. δακρύουσι habet quia pergit μεταβληθεῦσαι 5. ἐπεύχεται B. Fl. 6. 15. εὔχεται εἰς δένδρα) et qui δακρύουσαι I. ante τὸν φαέθοντα collocat B. αἱ δὲ 6. καὶ διὰ] καὶ ταῦτα διὰ A. ἡλιάδες κόραι ἐν ἠριδανῷ δακρύουσαι τὸν 7. εὔχεται] ἐπεύχεται A. φαέθοντα I. 8. ἐστι om. A. 20. τοῦ Ἠριδανοῦ] τοῦ om. A. 11. πτήσει] φύσει I. 24. κελτικῆς B. Fl. 6. 15. κελτικὸς ib. τούτου] τούτων A. A. I. 12. οἰκείως A. οἰκείοις B. I. 25. πειραθεῖσι] πειραθεῖσα A. (ὁ μὲν γὰρ Ἀδρίας συνέπαθε τῇ βοΐ, ὁ δὲ Ἠριδανὸς τῷ Φαέθοντι·) ὅπως ἂν πρόφασιν ἔχουσα τὸν τόπον ἀκαταπαύστως θρηνοίη τοὺς ἀνθρώπους. ἢ, ὅπερ ἄμεινον, εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους γενέσθαι, οἵτινες μάλιστα πεῖραν μετεμψυχώσεως ἐδέξαντο. ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ ἐπλανήθη εἰς βοῦν μεταμορφωθεῖσα, ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες εἰς αἰγείρους μετεβλήθησαν.

2.473 738. ἔνθα πορφύρεον: εἰς πορφυροῦν οἶδμα τοῦ Ἠριδανοῦ αἱ τοῦ πατρὸς Ἡλίου ἄθλιαι κόραι Ἡλιάδες τῷ οἴκτῳ καὶ θρήνῳ τοῦ Φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι, δακρύουσι τοῦτο τὸ δάκρυον, ὅπερ πηγνύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος ἀποτελεῖ τὸν ἤλεκτρον. πατέρα δὲ αὐτῶν τὸν Ἠριδανόν φησι, παρόσον τρέφονται αὐτοῦ τῷ ὕδατι αἴγειροι οὖσαι.

2.474

Eulogikon public reading copy · View original HTML at eulogikon.org

740. κόραι Φαέθοντος: Ἡλίου γὰρ βούλεται αὐτὰς ὁ μῦθος εἶναι. διὰ τὸ καὶ τὸ δάκρυον αὐτῶν φωτεινοειδὲς λέγεσθαι εἶναι ἤλεκτρον ὀνομαζόμενον ἐπεὶ καὶ ἠλέκτωρ ὁ Ἥλιος καλεῖται.

2.475 742. Ἑσπερίδων: ἔνθα τὰ χρύσεα μῆλα ἐσπάρησαν. Φερεκύδης δὲ Διὸς καὶ Θέμιδός φησιν αὐτὰς, ἔνιοι δὲ τὰς αὐτὰς ταῖς Ἀτλαντίσιν. Ἑσπερίδες δὲ ὀνομάζονται διὰ τὸ ἐν τῇ ἑσπέρᾳ, τουτέστιν ἐν τῇ δύσει, κεῖσθαι. ὁ δὲ λόγος, ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τῶν Ἑσπερίδων νυμφῶν τῶν ἀοιδῶν, ἔνθα εἰσὶ χρυσᾶ μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις καὶ ἐνταῦθα εὔχεται γενέσθαι, ἐπειδὴ καὶ αὗται νῦν ἐν θρήνοις εἰσὶ, θρηνοῦσαι τὸν δράκοντα τὸν μηλοφύλακα. τὸν νεωστὶ ὑφ'Ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ καὶ ἀοιδοὺς αὐτὰς λέγει διὰ τὸ ἐν θρήνοις εἶναι.

2.476 743. τᾶν ἀοιδᾶν: τῶν ἀδουσῶν, τῶν θρηνωδῶν. A.

2.478 744. ἵν'ὁ ποντομέδων: ὅπου ὁ Ποσειδῶν οὐκέτι δίδωσι τοῖς ναύταις διέξοδον πρὸς τὸ ἐγγίζειν εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐρανοῦ τὸν ὠκεανόν φησιν, εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποτερματίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων, ἔνθα ὁ Ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐκέτι δίδωσιν, καθάπερ καὶ Πίνδαρος "Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν." .

2.478 746. ναίων: γρ. κυρῶν. A. πληρῶν. B. rec.

2.479 747. τὸν Ἄτλας ἔχει: τὸν Ἄτλαντα οἱ μὲν ὄρος εἰρήκασι, μυθευόμενοι τὸν οὐρανὸν βαστάζειν, ἐπειδὴ πάνυ ὑψηλὸν ὑπάρχει καὶ δοκεῖ ἐπικεῖσθαι αὐτῷ ὁ οὐρανός· ὅθεν καὶ Ἄτλας εἴρηται διὰ τὸ ἄτλητον ποιῆσαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ Ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ, δἰ οὗ ἡ τοῦ παντὸς κίνησις γίνεται. δηλοῖ δὲ καὶ τὸ Ὁμηρικὸν "ἔχει δέ τε κίονας αὐτὸς μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι." εἰρῆσθαι δὲ Ἄτλαντα οἱονεὶ πολύτλαντα, διὰ τὸ αὐτὸν πάντα βαστάζειν.

2.480 ἔχει: κατοικεῖ. Fl. 2.

2.481 748. κρῆναί τ'ἀμβρόσιαι: αἱ τοῦ νέκταρος κρῆναι, καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖσε φύονται. Ἄλλως. ὑποτίθεται τὴν τῶν Φαιάκων γῆν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος καὶ ἐκ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ τὸν σῖτον καὶ τὰ ἄλλα κάρπιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς· καὶ ἔλθοιμι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅθεν ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ Διὸς χέονται αἱ πηγαὶ αἱ τὸ ζῆν τοῖς θεοῖς δωρούμεναι.

2.482 750. ἵν'ὀλβιόδωρος αὔξει πρὸς τῷ πυρίνῳ κύκλῳ καὶ τῇ τοῦ πυρός. ἑτέραν γὰρ ἐμύθευσαν εἶναι γῆν, ἐν πλεῖστα καὶ θαυμαστὰ φύονται· ἐν ταύτῃ γὰρ τὸ Ἠλύσιον πεδίον καὶ τῶν Φαιάκων 7. πρὸς τὸ ἐγγίζειν A. προσεγγίζειν 14. καὶ τὸ ὁμηρικὸν (Od. 1, 53.) B. καὶ ὅμηρος I. τοῦ ὁμήρου λέγοντος 6. οὐκέτι δίδωσιν A. οὐ δίδωσιν ἔτι A. 15. δὲ om. A. ib. καθάπερ A. καθὰ B.I. 16. πολύτλαντα A. πολύτλαν B.I. ib. Πίνδαρος] Nem. 4, 112. 21. τοῦ ἐνιαυτοῦ] τὸν ἐνιαυτὸν A. 8. κυρῶν] Imo κύρων. In B. κυρῶν 23. αἱ πηγαὶ] αἱ om. A. super ναίων, et τιθείς super κυρῶν. 26. γῆν] τὴν A. 9. Ἄτλαντα] ἄτλαν A. ib. ἐν ᾗ πλεῖστα—ἐμύθευσαν εἶναι 10. ἐπειδὴ] ἐπεὶ A. et mox καὶ τοῦ ἐπικειμένου πυρὸς om. I. 12. ποιῆσαι A. ποιήσασθαι B.I. 27. γὰρ] γὰρ καὶ A. τὴν γῆν ἐμύθευσαν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμασίας καὶ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ κάρπιμα φύεσθαι καὶ τὸ νέκταρ. φησὶ γοῦν κρήνας μὲν ἀμβροσίας τὰς τοῦ νέκταρος, εὐδαιμονίαν δὲ τὴν ἀμβροσίαν καὶ ἀφθαρσίαν.

2.483 752. ὦ λευκόπτερε Κρησία: ὦ λευκὰ πτερὰ, ὅ ἐστιν ἄρμενα, ἔχουσα Κρητικὴ ναῦ, ἥτις κατὰ τὸ κῦμα τῆς θαλάσσης τὴν δέσποινάν μου Φαίδραν ἐκόμισας νυμφευθεῖσαν Θησεῖ. A.B. ἑτέρα μοῖρα χορικὴ, ἢ δὴ καὶ τὰ παρόντα θρηνεῖ ἄνωθεν ἐκ τῆς ἐπιδημίας ὀλοφυρομένη τὴν Φαίδραν. σύ μοι, φησὶ, προοίμιον τῶν θρήνων, ὦ πορθμὶς, ἐπεὶ καὶ τῶν συμφορῶν ὑπόθεσις γεγένησαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.484 753. διὰ πόντιον: ἡ διά ἀντὶ τῆς κατά. A.B.

2.485 758. κακονυμφοτάταν: νυμφευσαμένη τῷ Θησεῖ νύμφευσιν ἀνόνητον, τουτέστιν εἰς τὴν κακὴν ὠφέλειαν τοῦ γάμου, εἰς ἀπόλαυσιν κακῶν. A.B.

2.486 759. ἦ γὰρ ἀπ̓ ἀμφοτέρων: ὄντως γὰρ ἀπὸ τῶν δύο, ἀπό τε τῆς Κρήτης καὶ τῆς Ἀττικῆς, κακὰ σημεῖα ἐφάνησαν αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἀκούουσιν ἔκ τε τοῦ πατρὸς καὶ τῆς μητρὸς, ἵν᾿ ᾖ οὕτως· ἐπὶ κακοῖς γὰρ σημείοις ἐκδοθεῖσα ὑπὸ τῶν γονέων ἦλθες εἰς Ἀττικὴν ἀπὸ τῆς Κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἰς τὸ ἔπτατο ἀνῆλθεν. Μουνύχιος δὲ λιμὴν Ἀττικῆς. ὁπηνίκα δὲ, φησὶν, ἐν τῷ Μουνυχίῳ λιμένι παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων καὶ ἔδησαν ἐν αὐτῷ καὶ ἐξέβησαν ἐν τῇ γῇ, τὸ τηνικαῦτα ἡ Ἀφροδίτη κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ.

2.487 763. ἐπ̓ ἀπείρου τε γᾶς: κυκλοτεροῦς. A.

2.488 764. ἀνθ̓ ὧν: ἀντὶ τοῦ ἀφ᾿ ὧν. ὁ δὲ νοῦς, ἀφ᾿ ὧν τῶν κακοσήμων οἰωνῶν ὑπὸ ἀδίκων ἐρώτων Ἀφροδίτης δεινῇ νόσῳ φρένας κατεκλάσθη. A.B.

2.489 767. ὑπέραντλος: ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηὶ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων. ἀδυνατοῦσα, φησὶ, πρὸς τὴν συμφορὰν, καὶ ὑπερβαρῆ νοσήσασα νόσον τὴν ἀγχόνην ἐβουλεύσατο.

2.490 770. ἅψεται ἀμφὶ βρόχον: ἡ ἀμφί πρὸς τὸ ἅψεται ἀντὶ τοῦ περιάψεται. A.

2.491 774. ἀπαλλάσσουσα: ἀντιλαμβανομένη. A.

2.492 776. ἰοὺ ἰού: τινὲς βούλονται τὴν τροφὸν ταῦτα ἔσωθεν λέγειν. ἔνιοι δὲ ἐξάγγελον φασί. ἐξάγγελος δὲ ὁ τὰ πεπραγμένα ἔνδον τῆς σκηνῆς τῷ χορῷ ἀγγέλλων. βοηδρομεῖν δέ ἐστι τὸ μετὰ βοῆς τρέχειν, ἵνα διὰ τῆς βοῆς καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσι.

2.493 780. ἀμφιδέξιον σίδηρον: ἀντὶ τοῦ δίστομον, ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκουν γὰρ μετέχειν τοῦ μιάσματος ὅσοι μὴ ἔκοπτον τὰς ἀγχόνας τῶν ἠγχονισμένων. ἅμμα δὲ δεσμὸς σχοινίων. καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων.

2.494 785. τὸ πολλὰ πράττειν: οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐκβαλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα.

2.495 786. ὀρθώσατ᾿: ἀπορθώσατε, φησὶν, αὐτῆς τὰ μέλη, καὶ κατ᾿ὀρθὸν σχηματίσατε τὸν νεκρὸν, τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν, ὅ ἐστι τὸν ἀτυχῆ οἰκουρόν.

2.496 787. οἰκούρημα: οἰκουρὸς λέγεται ἡ γυνή. M.

2.497 790. γυναῖκες, ἴστε τίς: τὸ ἑξῆς, ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο. ἴστε, τίς ποτ᾿ἐν δόμοις βοή: ἴστε, φησὶ, τίς ἡ βοὴ ἡ ἐν τοῖς οἴκοις, ὁ γυναῖκες; ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο.

2.498 792. οὐ γάρ τί μ᾿ὡς θεωρόν: ἀντὶ τοῦ ἀπὸ μαντείας. ἔθος γὰρ 1. Hoc scholion est etiam in M. ib. μετὰ βοῆς τρέχετε—ἐπικουρίαν sed partim obliteratum. Ante ἀδυνατοῦσα καλῶσιν est in M. addit ἀντὶ τοῦ ὑπερβολῇνοσοῦσα. 11. ἀμφιδέξιον—ᾧ ἄν] ἀμφιδέξιος 3. ὑπερβαρῆ] ὑπερβαρεῖ A. βαρέως δίστομος, οἷον A. Est hoc scholion in M. sed literis evanidis. στ΄ib. νόσον add. M. 12. δεξιῶς χρήσαιτο] χρη δεξιῶς A. 7. τὴν τ. ταῦτα A. ταῦτα τὴν τ. 13. ἅμμα—δεδεμένων βρόχων om. ib. ἔσωθεν (ἔξωθεν I.) post λέγειν 14. σχοινίων] σχοινίον B. 19. Post σχηματίσατε A. pergit, A. 8. ἐξάγγελον A. ἐξαγγέλων B. ἐξ πικρὸν τόδ̓ οἰκούρημα: πικρὸν οἰκούρημα τῶν etc. ἀγγέλων I. 9. βοηδρομεῖν] βοηδρομεῖτε (lemma) 22. ἠχὼ] γυναῖκες, ἠχὼ A. A., omisso δέ. εἶχον οἱ ἀρχαῖοι τοῦτο, ὅτε ἤρχοντο ἀπὸ μαντείας, ἐστεφανωμένοι ἤρχοντο, καὶ πάντες τοῦ οἴκου προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς· οὐκέτι μοι ὡς θεωρῷ προσφθέγγεται ὁ οἶκός μου ἀγαθὰ, ἀλλὰ φαῦλα· οὐ γὰρ ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν, ἀλλ̓ ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωροὶ δὲ καλοῦνται πάντες οἱ ἐκ θεοῦ στελλόμενοι, ἢ ὕστερον ὑποστρέφοντες.

2.499

Eulogikon public reading copy · View original HTML at eulogikon.org

795. πρόσω μὲν ἤδη: οἷον πόρρω, μακρὸς, ἀντὶ τοῦ προβέβηκε τῇ ἡλικίᾳ, ἀντὶ τοῦ γέρων μὲν ἤδη ἐστὶν, ἀλλ̓ ὅμως λυπηρὸς ἡμῖν γενήσεται ἀποθανών.

2.500 799. μή τι συλᾶται: μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται; ἀντὶ τοῦ ἀπέθανον.

2.501 803. λύπῃ παχνωθεῖσα: ἀντὶ τοῦ κακωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν φθαρτική ἐστιν ἡ πάχνη. οἰκονομικῶς δὲ ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός.

2.502 806. ἀνέστεμμαι κάρα: ἔθος γὰρ ἦν τοὺς ἐξ ἱεροῦ στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις.

2.503 808. χαλᾶτε κλῇθρα: ἀντὶ τοῦ ἀνοίγετε τὰς θύρας.

2.504 809. ἁρμούς: γρ. καὶ ὅρμους ἀντὶ τοῦ δεσμούς. B.

2.505 812. ἔπαθες, εἰργάσω: πέπονθας τὸ τῆς ἀγχόνης κακὸν, εἰργάσω εἰς ἑαυτὴν τὸν δἰ ἀγχόνης θάνατον. τὸ δὲ αἶ αἶ τόλμας διὰ μέσου ἀναπεφώνηται, καὶ οὕτως τὸ ἑξῆς ἵσταται.

2.506 815. πάλαισμα μελέας: τὸ παράπτωμα τῆς ἀγχόνης, ἀπὸ μεταφορᾶς τῶν παλαιόντων, οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ παλαίοντες. A.B.I. Ἄλλως. ὦ πάλαισμα καὶ κατάπτωμα τῆς σῆς ἀθλίας χειρός.

2.507 816. τίς ἄρα: λείπει τὸ δαιμόνων· τίς ἄρα δαιμόνων ἀμαυροῖ, ἤτοι ἀφανῆ καθιστᾷ, τὴν σὴν ζωήν.

2.508 820. κηλὶς ἄφραστος: ῥυπαρία μελαίνουσα, αἰσχύνη. ἄφραστος δὲ ἀντὶ τοῦ ἀπροόρατος, ἀδόκητος σπίλος καὶ αἰσχύνη. B.I. ἀντὶ τοῦ κακὸν ἀπροσδόκητον. A.

2.509 821. κατακονὰ μὲν οὖν: ἀντὶ τοῦ καταφθορά. λείπει δὲ τὸ κατέλαβέ με. ὁ δὲ νοῦς· καταφθορὰ ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με. κακῶν δὲ ὁ τάλας πέλαγος εἰσορῶ. γράφεται δὲ καὶ τὸ κατακονῶ ῥῆμα, ἵν᾿ ᾖ οὕτως· μαραίνει με ἡ δυστυχία τοῦ βίου. γράφεται καὶ κατακονᾷ μὲν οὖν, ἀντὶ τοῦ καταναλίσκει.

2.510 824. μηδ̓ ἐκπερᾶσαι κῦμα: ἀντὶ τοῦ ἐκκολυμβῆσαι, παρέρπειν, ἐπεὶ καὶ πέλαγος προείρηται. ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

2.511 828. ὄρνις γὰρ ὥς τις: ὥσπερ γὰρ ὄρνις κρατουμένη ὑπό τινος ἀφανὴς γίνεται, οὕτω καὶ σὺ, ταχέως πηδήσασα ἐν τῷ Ἅιδῃ.

2.512 831. πρόσωθεν δέ ποθεν: πόθεν συνέβη μοι αὕτη ἡ συμφορά: μὴ ἄρα ἕνεκεν τῶν πρότερον ἡμαρτημένων μοι, ἢ πρός τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων; B.I.

2.514 832. ἀμπλακίαισι τῶν πάροιθεν: ταῖς ἁμαρτίαις τῶν προγόνων, ὅ ἐστιν, οὐ δἰ ἐμὸν ἁμάρτημα τιμωροῦμαι, ἀλλὰ διὰ προγονικόν. Ἄλλως. μὴ διὰ τὰς ἁμαρτίας τῶν προτέρων μου, ἤτοι προγόνων, ἀναλαμβάνω τοιαύτην δυστυχίαν παρὰ θεῶν; .

2.514 834. οὔ σοι τάδ̓ , ὦναξ: καὶ ἐν τῇ Ἀλκήστιδι “οὐ γάρ τοι ποῶτος, οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες.” B.I.

2.515 835. κεδνὸν λέχος: τὸ φρόνιμον, ἢ τὸ ἐπιμελείας ἄξιον. B.

2.516 836. τὸ κατὰ γᾶς θέλω: οἷον θέλω λοιπὸν ἀποθανεῖν. A.B. κνέφος: σκότος. παρὰ τὸ κενὸν εἶναι φάους. A.

2.517 840. τίνος κλύω: λείπει ἡ παρά, παρὰ τίνος ἀκούσω καὶ μαθήσομαι τὸ συμβάν σοι αἴτιον, ὅθεν ἀπώλου, τίς ἂν εἴποι τὸ γενόμενον; ἢ ὄντως τὸ δῶμα μάτην ἔχει θεραπόντων ὄχλον; B.I. πόθεν συνέβη μοι, ἤτοι αὕτη ἡ συμφορὰ, μὴ ἄρα ἕνεκα τῶν πρότερον ἡμαρτημένων, μοι, ἢ ἀπό τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων πολλάκις γὰρ πατέρων ἀνομίαι τέκνοις ἀποδίδονται. A.

2.518 843. στέγει: τρέφει. A. φέρει. B.

2.519

Eulogikon public reading copy · View original HTML at eulogikon.org

846. οὐ τλητὸν οὐδὲ ῥητόν: ὃ οὔτε σιωπᾶν δύναμαι, (μέγα γάρ ἐστιν) οὔτε λέγειν. αἰσχύνην γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανάτου. A.B.I. ἀλλ̓ ἀπωλόμην: ἡ ἀλλὰ ἀντὶ τοῦ γάρ. A. τὸ δὲ ἔλιπες ἔλιπες, ὦ φίλη, ἀντὶ τοῦ ἀπέθανες, ἔλιπες τὸ ζῆν. καὶ τὸ ἰὼ τάλας ἀντὶ τοῦ τάλαινα· καὶ γὰρ ταῦτα τοῦ χοροῦ φασιν εἶναι. B.I.

2.520 851. νυκτὸς ἀστερωπός: καὶ ἡ διὰ νυκτὸς λαμπρὰ σελήνη, ἡ μετὰ ἀστέρων φαινομένη σελήνη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου. ἐκεῖνος γὰρ κρύπτει πάντων τῶν ἀστέρων τὸ φῶς. A.B.I. Ἄλλως. ἡ μετὰ ἀστέρων φαινομένη, πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ὁ γὰρ ἥλιος ἅπαντας ἀμαυροῖ τοὺς ἀστέρας ταῖς ἀκτῖσιν αὐτοῦ, οὐχ οὕτω δὲ καὶ ἡ σελήνη, ἀλλὰ μόνους τοὺς πλησιάζοντας. A.

2.521 855. τὸ δ̓ ἐπὶ τῷδε: ἐπὶ πολὺ φρίσσω. διὰ τί γὰρ κακῶς ἀπήγξω, περὶ οὗ φοβοῦμαι μὴ καὶ ἕτερόν τι πάθω κακόν.

2.522 859. ἔγραψεν: μᾶλλον ἔγραψε παρακλήσεις, ἵνα μὴ ἄλλην μνηστεύσωμαι, ἢ διὰ τὰ τέκνα.

2.523 860. θάρσει, τάλαινα: γελοῖον πρὸς νεκρὸν τὸ θάρσει, συγγνωστέος δὲ διὰ τὴν παρακειμένην συμφοράν. σφενδόνην λέγει τὴν δέσιν, τὸν δεσμὸν, τύπον δὲ τὴν ἐπικειμένην σφραγῖδα τῷ δεσμῷ. προσσαίνουσί με δὲ ἀντὶ τοῦ ἡδύνουσί με, προτρέπονται, κολακεύουσιν. αὐτῆς γάρ εἰσι. ὅθεν ἐπάγει, ἴδω τί λέξαι, ἵνα ἴδω τί θέλει σημᾶναι.

2.524 861. οὐκ ἔστι δώμαθ’: οὐκ ἔστιν ἥτις γυνὴ εἰς τοὺς δόμους εἰσέλθοι διὰ τὰ λέκτρα τοῦ Θησέως. A.

2.525 864. φέῤ, ἐξελίξας: φέρε δὴ οὖν ἀποκόψω τὸν δεσμὸν τῆς σφραγῖδος τοῦ δακτυλίου, καὶ τὰς περιπλοκὰς ἀναλύσας ἴδω τί βούλεται σημᾶναι ἡ δέλτος αὕτη.

2.526 866. ἐκδοχαῖς: κατὰ διαδοχὴν, ἵνα ἴδω πῶς νέα κακὰ ὁ θεὸς ἐπεισφέρει τούτοις τοῖς οἴκοις.

2.527 867. ἀβίωτος βίου τύχα: θάνατος τύχη ἀβιωτοποιὸς, ἢ ἡ τύχη τοῦ βίου. A. ἀντίπτωσις. ἐμοὶ μὲν οὖν εἴη τυχεῖν, ὦ τύχη, βίου ἀβιώτου. A. θάνατος τύχη ἀβιωτοποιὸς τῆς ζωῆς, ἀντὶ τοῦ ἡ τύχη τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι. πρὸς τὸ κρανθὲν γὰρ νῦν ἀντὶ τοῦ πρὸς τὸ συμβάν. B.I. ἤτοι ἐγὼ μὴ ἐπιζήσαιμι πρὸς τὸ μέλλον γενέσθαι. A.

2.528 869. ὀλομένους γάρ: τὸ ἑξῆς· ὀλομένους δόμους τῶν ἐμῶν δεσποτῶν οὐκ ἔτ᾽ὄντας λέγω. τὸ δὲ φεῦ φεῦ διὰ μέσου.

2.529 871. ἔστι: δυνατόν ἐστι. B. rec. ἔν τισιν οὐ φέρονται οὗτοι. B.

2.530 872. πρὸς γάρ τονος: ἡ πρός ἀντὶ τῆς ἀπό, ἵν᾽ᾖ οὕτως, ἀπό τινος τύχης. B.I. εἰσορῶ γὰρ τὸ δεινὸν τὸ μέλλον ὡς ὁ 1. συγγνωστέος—συμφοράν om. A. σφενδόνης. 2. παρακειμένην] περικειμένην B. Fl. ib. ἴδω] ἴδω τί λέξαι: ἴδω οὖν 3. τῷ δεσμῷ] τῶν δεσμῶν I. 11. αὕτη add. A. 4. δὲ ἀντὶ τοῦ om. A. 12. ἐκδοχαῖς A. φεῦ φεῦ B.I. ib. ἡδύνουσί με B. Fl. 6. 15. με ib. ἵνα ἴδω πῶς addidi ex A. om. A.I. 13. ἐπεισφέρει] ἐπιφέρει A. 5. αὐτῆς γάρ εἰσι om. A. ib. οἴκοις A. τόποις BI. ib. ὅθεν—σημᾶναι add. A. 16. θάνατος add. B. Fl. 6. 15. 9. δὴ οὖν om. A. 20. ὀλομένους] ὀλουμένους B. in textu ib. ἀποκόψω] ἀποκόψας A. et in scholio. 10. τοῦ δακτυλίου—ἀναλύσας om. ib. τῶν ἐμῶν—μέσου om. A. A. habet vero gl. τοῦ δακτυλίου ad μάντις παρά τινος τῶν οἰωνῶν καὶ ὀρνέων εἰσορᾷ καὶ μαντεύεται. A. οἰωνόν: προμήνυμα. B. rec.

2.531 875. λεκτὸν, ὦ τάλας ἐγώ: λείπει τὸ εὗρον τοῦτο. A.

2.532 876. εἴ τί μοι λόγου μέτα: ἐάν με κρίνῃς ἄξιον B. καὶ μετάδος μοι τοῦ λόγου, εἰ μέτεστί μοι τοῦ λόγου. B.

2.533 880. φθεγγόμενον: βουλόμενον. A.

2.534 881. κακῶν ἀρχηγόν: ἀντὶ τοῦ κακοῦ λόγου ἀρχὴν λέγεις. τὸ ἑξῆς· τόδε μὲν δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς ἐν τῷ στόματι. ὅμοιον δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. δυσεκπέρατον δὲ δυσαπάλλακτον, δυσεπίληπτον. Β.Ι. δυσεκπάλαιστον· ἢ τὸ δυσκόλως περαινόμενον καὶ γινόμενον, ἢ τὸ δυσεπίληπτον. Α. τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις: ὁμοίως τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. τὸ δὲ δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς τῷ στόματι Ἄλλως· πύλαι στόματος τὰ χείλη. οὐκέτι οὖν, φησὶ, καθέξω τὸν λόγον ἐντὸς τοῦ στόματός μου, τουτέστιν οὐκέτι σιωπήσω. Α.

2.535 886. τὸ σεμνὸν Ζηνὸς ὄμμ᾽ἀτιμάσας: τὴν τοῦ Διὸς ἐφορείαν σεμνὴν μὴ τιμήσας. Α. ἀντὶ τοῦ τὸν πατρῷον Δία ὑβρίσας.

2.536 888. μιᾷ κατέργασαι: μιᾷ τούτων τῶν καταρῶν κατέργασαι τὸν ἐμὸν παῖδα. ποίων δέ; ἃς ἀρὰς ἐμοὶ ὑπέσχου, τὸ ἀνελθεῖν ἐξ Ἅιδου, τὸ ἀποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου, τὸ πεμφθῆναι τῷ υἱῷ αὐτοῦ θάνατον.

2.538 892. γνώσῃ γὰρ αὖθις: ἔχεις γὰρ γνῶναι ὅτι ἥμαρτες. καὶ ἐν Ἀλκήστιδι “οὐ γὰρ πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες.” .

2.538 893. καὶ πρός γ᾽ ἐξελῶ: αὖθις ἐπαναλαβὼν, ἀντὶ τοῦ οὐδαμῶς· ἀλλὰ πρὸς τούτοις καὶ ἐκβαλῶ αὐτὸν ἐκ ταύτης τῆς γῆς.

2.539 894. δυοῖν δὲ μοίραιν θατέρᾳ: μιᾷ τῶν δύο μοιρῶν πληγήσεται.

2.540 897. ἀλώμενος: πλανώμενος. Α.

2.541 901. τὸ λῷστον: τὸ βέλτιστον, τὸ συμφέρον. Α.Β.

2.542 908. οὔπω χρόνον: οὐ πρὸ πολλοῦ μοι τοῦ χρόνου ἐβλέπετο, ἢ οὐκ ἐκ πολλοῦ χρόνου, ἀλλ̓ ἔναγχος· ἀντὶ τοῦ ἣν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπέθανεν, ἤτοι πρὸ ὀλίγου.

2.543 911. σιωπῆς δ̓ οὐδὲν ἔργον: τὸ τέλειον οὕτως· ἐν δὲ, ἀντὶ τοῦ ἐν γὰρ, τοῖς κακοῖς οὐδεὶς ὀφείλει σιγᾶν· οὐδὲν ὄφελος, φησὶν, οὐδὲ κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπὴ ἐστι.

2.544 912. ἡ γὰρ ποθοῦσα: ἡ γὰρ καρδία ἐπιζητοῦσα τὰ πάντα ἀκούειν δαπανᾶται. λίχνος δὲ ἤτοι ἐπιθυμητικὴ, περίεργος.

2.545 915. κρύπτειν δίκαιον: οὐ γὰρ ὀφείλεις κρύπτειν τὰς σὰς δυστυχίας τοὺς φίλους σου, τουτέστι τὰ τέκνα σου.

2.546 916. ὦ πόλλ̓ ἁμαρτάνοντες: ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι καὶ διδάσκοντες τοὺς ἀνθρώπους, πλὴν τούτου, τοῦ διδάσκειν συνετοὺς τοὺς ἀσυνέτους. περιτταὶ οὖν, φησὶν, αἱ παραινέσεις καὶ συμβουλίαι τῶν ποιητῶν, οὐχὶ τὰ δέοντα φρονεῖν διδάσκουσαι τοῖς ἀνθρώποις αὗται. λέγομεν δὲ ὅτι τῇ προσθήκῃ τὴν ἀπορίαν ἔλυσεν, εἰπὼν “οἷσιν οὐκ ἔνεστι νοῦς·” εἰς νοῦν γὰρ ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει, εἰς δὲ ἄνουν μάτην ἐκρίπτεται.

2.547 921. δεινὸν σοφιστήν; λογιστὴν, ἐξεταστὴν, διδάσκαλον. ὁ νοῦς τοιοῦτος· ἀληθῶς καλὸν διδάσκαλον εἶπας, τὸν δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας.

2.548 924. δέδοικα μή σου: φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλλουσά σου ἡ γλῶσσα ἔξηχον καὶ παράφρονά σε ποιήσῃ.

2.549 927. ὅστις τ᾽ ἀληθής: ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν, εἴτε καλά ἐστιν, εἴτε κακὰ, ὥσπερ ἐπὶ τοῦ χρυσίου. δοκιμαζόμενον γὰρ φαίνεται εἰ καλόν ἐστιν ἢ κακὸν, ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοὺς ἀνθρώπους δύο φωνὰς ἔχειν, δικαίαν τε καὶ ἄδικον, ἵνα, εἰ μὲν ἡ ἄδικος φωνὴ θελήσει ψεύσασθαι, ἠλέγχετο καὶ οὐδεὶς ἠπατᾶτο.

2.551 932. ἀλλ᾽ τις εἰς σὸν οὖς: μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν οὖς ἀπὸ τῶν φίλων; .

2.551 διαβαλὼν ἔχει: Ἀττικὸν ἀντὶ τοῦ διέβαλεν, ὡς καὶ Ἡσίοδος “κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν” ἀντὶ τοῦ κεκρύφασι. Α.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.552 934. ἔκ τοι πέπληγμαι: ξένους λόγους ἀκούων παρὰ σοῦ ἐκπλήσσομαι. οἱ γὰρ σοὶ λόγοι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν παρεξηλλαγμένοι τοῦ καθήκοντος παραπλῆγά με κατεργάζονται. Ἄλλως. ἔξεδροι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν μου, οἷον μαινόμενοι, ἐξεστηκότες, ἄδικοι, παραλογιστικοὶ, μὴ καλῶς λεγόμενοι, ἀλλ’ ἔξω τῆς διανοίας ὄντες. A.B.I. οἱ τὸν ἀκούοντα ποιοῦντες ἔξω τῶν φρενῶν καὶ τῆς διανοίας. καὶ τοῦτο γὰρ ὕβρις τοῦ Θησέως τὸ λέγειν τοὺς αὐτοῦ λόγους μωρούς. B. rec.

2.553 936. φεῦ τῆς βροτείας: ἤγουν ἡ βροτεία φύσις. A.

2.554 937. τί τέρμα τόλμης: τί ἔσται τέλος τοῦ θράσους, τὸ θράσος δηλονότι.

2.555 938. εἰ γὰρ κατ’ ἀνδρός: εἰ γὰρ ἐπαρθήσεται ἑνὸς ἑκάστου ἀνδρὸς ὁ βίος, καὶ ὁ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ, ὀφείλομεν 2. καλά—κακὰ A. καλόν—κακὸν 12. παρὰ] περὶ Fl. 6. 15. B.I. ib. ἐκπλήσσομαι—Ἄλλως] ἐκπλήττομαι. ib. ὥσπερ] ὡς A. λόγοι παραλλάσσοντες: παρηλαγμένοι ib. χρυσίου. δοκιμαζόμενον—καλόν— τοῦ καθήκοντος. οἱ γὰρ σοὶ— κακόν A. χρυσοῦ. δοκιμαζόμενος—καλός κατεργάζονται, ἄλλως. ἢ παραλλάσσοντες τοῦ πρέποντος ἤτοι ἔξω τοῦ εἰκότος —κακός B.I. 3. τοῦ ἀνθρώπου A.B. Fl. 6. 15. φερόμενοι καὶ ἐκτὸς ὄντες λογισμοῦ A. 13. λόγοι οἱ] οἱ om. I. τοὺς ἀνθρώπους I. 5. εἰ μὲν A. ἐὰν B.I. ib. φρενῶν—ἐξεδροποιοὶ τῶν om. I. ib. θελήσει A. ἠθέλησε B.I. 15. οἷον A. ὥστε B.I. 6. ἠλέγχετο—ἠπατᾶτο A. ἠλέγχετο 21. τέλος A.B. τὸ τέλος I. ὑπὸ τῆς δικαίας, ἵνα μηδεὶς ἀπατηθῇ B.I. ib. τὸ θράσος δηλονότι om. A. 7. ἢ] εἴ A.I. 24. καὶ ὁ] ὁ om. I. 8. ἀπὸ] ἐκ A. ib. ἐπιγινόμενος] ἐπιγενόμενος Fl. 9. Ἡσίοδος] Op. 42. 6. 15. δεήσεις τοῖς θεοῖς ἀνενεγκεῖν, ἵνα ἄλλην γῆν τινα ἀπομερίσῃ, ἥτις τοὺς κακοὺς χωρήσει. ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ Ἱππολύτου. Ἄλλως. εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται, ἵνα ὁ μεταγενέστερος τοῦ προβεβηκότος πανουργότερός ἐστιν, ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους. Ἄλλως. εἰσὶ φύσεις ζώων πρὸς ἑτέρας φύσεις ζώων ἐναντίως ἔχουσαι, οἷον ἡ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων, ἡ τῶν λύκων πρὸς τὴν τῶν προβάτων. καὶ Ὅμηρος “ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονες.” καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία, τοῖς δὲ ἀνθρώποις ἡ ἡμετέρα τῶν χωρίων. ὅταν, φησὶν, εἰς ἄκρον κακίας προκόψῃ τῶν ἀνθρώπων ἡ φύσις, ἀπορήσουσιν οἱ θεοὶ ποῖ τοὺς πονηροὺς κατοικίσουσιν. εἰς τὰς ἐρημίας; ἀλλ’ ἐκεῖ θῆρες. εἰς τὰ ἡμέτερα χωρία; ἀλλ’ ἐκεῖ δίκαιοι ἄνθρωποι. λοιπὸν ἀνάγκη ἑτέρας δεῖσθαι γῆς ἥτις τοὺς κακοὺς χωρήσει.

2.556 943. σκέψασθε δ’ εἰς τόνδε: ἀποβλέψατε, φησὶν, εἰς τὸν ἐμὸν υἱὸν, ὅστις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην, καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης.

2.557 946. δεῖξον δ’, ἐπειδή γ’ εἰς μίασμ’ ἐλήλυθας: ἐλήλυθας, δεῦρό μοι ἐναντίον στῆθι, ἤγουν ἐπεὶ ὅμως εἰς τὸ μιᾶναι ἦλθες δεῦρο, δεῖξόν μοι τὸ σὸν πρόσωπον, ἢ ἐπεὶ ὅλως ἐτόλμησας ἐλθεῖν εἰς τὸν τῆς Φαίδρας ἔρωτα, ὅπερ μίασμα καλεῖ. A.

2.558 948. σὺ δὴ θεοῖσιν: σὺ δὲ εἶ ὁ ὑπὲρ πάντας σοφὸς ὢν καὶ σώφρων, καὶ ἀκούων ἀμίαντος τῶν κακῶν. οὐδαμῶς ἐγὼ πείθομαι τοῖς σοῖς ψεύσμασι.

2.559 περισσός: περισσοὺς λέγει τοὺς φιλοσόφους τοὺς καθ’ ἑαυτοὺς βιοτεύοντας, ὡς περισσόν τι καὶ ἐπέκεινα τῶν χυδεωτέρων ἔχοντας. B.

2.560 953. σίτοις καπήλευε: ἀντὶ τοῦ χλεύαζε, ἀποπλάνα τοὺς ἀνθρώπους, ὥστε πορίζειν τροφάς· ἢ ἐν λόγοις ἐμπορεύου, καθάπερ οἱ λογέμποροι λεγόμενοι, καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες, ἀλλὰ τοῖς λόγοις καπηλεύοντες καὶ τοῖς σιτίοις τοῖς δι’ ἀψύχου βορᾶς ἀπάτα. ἀντὶ τοῦ ἁγνεύετε, ὡς οἱ φιλόσοφοι μηδὲν κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἑτέρων ἐσθίοντες, ἀλλὰ σῖτον μόνον, καὶ ἔχοντες τὸν Ὀρφέα βασιλέα ὡς σώφρονα. ἐπεὶ γὰρ ἔνδοξος ἦν ὁ Πυθαγόρας, ἤδη καὶ πολλοὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμψύχων ἀπέσχοντο. ἀνάγει δὲ τοὺς χρόνους· περὶ ἑαυτοῦ γὰρ βούλεται αἰνίξασθαι ὁ Εὐριπίδης. τοιοῦτος δέ ἐστιν, ἀεὶ τὰ ἡρωϊκὰ πρόσωπα εἰσάγων φιλοσοφοῦντα.

2.561 954. βάκχενε: μεγαλαύχει, τὰς μωρίας τῶν πολλῶν γραμμάτων ἐπιστάμενος. τὸ γὰρ ληφθῆναί σε σκαιὰν ἐποίησέ σου τὴν ἄσκησιν. A.B.I. ἐνθουσία. Fl. 2. τιμῶν καπνούς: τιμῶν οἰκίας τὰς ὑπὸ τῶν φορολόγων εἰσγεγραμμένας. B. rec.

2.562 958. τέθνηκεν ἥδε: εἰ δὲ νομίζεις, φησὶν, ἐκφυγεῖν ταύτης ἀποθανούσης, οὐδαμῶς ἔσται τοῦτο, ἐπεὶ ἔχεις εἰς ἔλεγχον τὰ γράμματα ταῦτα ταύτης ἀποθανούσης.

2.563 962. μισεῖν σε φήσεις τήνδε: ἀλλ’ ἔχεις εἰπεῖν ὅτι ἐμίσει σε ὡς νόθον ὄντα, ἐπειδὴ οἱ γνήσιοι πολέμιοι τῶν νόθων εἰσίν.

2.564 904. κακὴν ἄῤ αὐτήν: οἱ ἔμποροι τὰ μὲν παρέχουσι, τὰ δὲ λαμβάνουσι, καὶ τοῦτο ἐπ’ ὠφελείᾳ ποιοῦσιν. εἰ οὖν αὕτη τὴν ψυχὴν ἑαυτῆς δέδωκεν, ἵνα σε μισητὸν τῷ πατρὶ καταστήσῃ, ἄφρων ἄρα καθέστηκε, τοιαύτην ὁδὸν ἐμπορευομένη. οἱ γὰρ ἔμποροι ἐπὶ κέρδει πραγματεύονται. θέλεις, φησὶν, εἰπεῖν ὅτι ἐπραγματεύσατο, θέλουσά σε φονεῦσαι, διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως ταύτης. ἔμπορος δὲ διοικήτρια, προνοητικὴ, πρακτική.

2.565 967. οἶδ’ ἐγὼ νέους: οἶδα ἐγὼ νεωτέρους ὅτι, ὁπηνίκα αὐτοὺς ἡ Κύπρις ταράζῃ, μωρότεροι γίνονται γυναικῶν.

2.566 970. τὸ δ’ ἄρσεν αὐτούς: συγγνώμην αὐτοῖς παρέχει τὸ ἄνδρας εἶναι ἐν ἁμαρτίαις, ταῖς γυναιξὶ δὲ οὒ, ἢ τὸ καλεῖσθαι ἄρσενας, ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες, ἢ τὸ θρασὺ καὶ ἀναιδές.

2.567 971. νῦν οὖν τί ταῦτα: ἐναντιούμενος οὖν ἐγὼ νῦν τοῖς σοῖς λόγοις ταῦτα λέγω, ἔχων καὶ σαφῆ μάρτυρα τὸν νεκρόν.

2.568 973. ἔξερρε γαίας: φθείρου ἐκ ταύτης τῆς γῆς φυγὰς γενόμενος, καὶ μήτε εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς τὴν ὑπὸ Ἀθηνᾶς ᾠκοδομημένην. θεοδμήτους γὰρ τὰς θείως ᾠκοδομημένας· οὐ γὰρ ὑπὸ θεῶν ἐτειχίσθησαν.

2.569 974. θεοδμήτους: θεοδμήτους οὐ λέγει τὰς Ἀθήνας ὡς ὑπὸ θεῶν τειχισθείσας, ἀλλ’ ὡς τῇ Ἀθηνᾷ ἀνατεθείσας. αἱ γὰρ Ἀθῆναι πρῶτα κατὰ τὸν μῦθον ἀναφανεῖσαι πολλοὺς τῶν θεῶν εἵλκυσαν εἰς ἔρωτα ἑαυτῶν, ἐξαιρέτως δὲ παρὰ τοὺς λοιποὺς θεοὺς Ἄρης καὶ Ἀθηνᾶ τῆς πόλεως ἤρων, καὶ ἀντεποιεῖτο ἑκάτερος. καθιστῶσιν οὖν αὐτοὺς τοὺς πολίτας τοὺς Ἀθηναίους δικαστὰς τίνι ἂν ἡ πόλις προσήκοι μᾶλλον. Ἀθηναῖοι δὲ λέγουσιν ὡς τῷ δεδειχότι σημεῖόν τι ἐν 2. εἰ οὖν om. A. 11. ἐν ἁμαρτίαις add. A. 3. ἑαυτῆς A. αὐτῆς BI. ib. ἢ τὸ κ.] τὸ om. A. ib. δέδωκεν B. Fl. 6. 15. ἔδωκεν ib. ἄρσενας] ἄρχοντας I. 13. οὖν ἐγὼ om. A. ib. σε] με I. 14. λόγοις om. I. ib. ἔχων A. ἔχειν B.I. 4. ὁδὸν om. A. 7. ἔμπορος —πρακτική om. A. ib. σαφῆ Heathius pro σοφήν. ib. πρακτική B. Fl. 6. 15. πραγματική ib. μάρτυρα] Quod librarius in A. scripserat μαρτυρίαν ipse in μάρτυρα I. 9. ταράξῃ A. Fl. 6. ταράξει B.I. mutavit. μάρτυρον I, omisso τόν. ib. γυναικῶν A. τῶν γυναικῶν B.I. ib. τὸν νεκρόν] τὴν νεκρόν B. 10. ἄνδρας εἶναι A. εἶναι ἀνδράσι 15. γενόμενος A. γεγονὼς B.I. 17. θεοδμήτους—ᾠκοδομημένας om. I. B.I. τῇ πόλει ἐκείνῳ ἀνατεθῆναι ταύτην. Ἀθηνᾶ οὖν ἐλαίαν ἐν τῇ ἀκροπόλει ἐξέφυσε καὶ οὕτως νικήσασα τὴν πόλιν ἔλαβεν ἑαυτῇ. καὶ διὰ τοῦτο τοῖς νικῶσι θαλλὸς ἐλαίας ἔκτοτε διδόμενος ἦν· ὥστε θεοδμήτους λέγει τὰς Ἀθήνας ὡς ἐπὶ τούτῳ οἰκοδομηθείσας, ὥστε ἀνακεῖσθαι τῇ θεῷ Ἀθηνᾷ. A.

2.570 976. εἰ γὰρ παθών γε: εἰ γὰρ μὴ τιμωρήσομαί σε, οὐδὲ ἃ πρὶν κατώρθωκα ἐμὰ νομισθήσεται, ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ’ αὐτοῖς.

2.571 977. οὐ μαρτυρήσει μ’ Ἴσθμιος: Σίνις ἐγένετο, ὅστις εἶχε κράββατον ἀνὰ μέσον τῆς ὁδοῦ, καὶ ἐκράτει τοὺς παριόντας καὶ προσεμέτρει τῷ κραββάτῳ. καὶ εἰ μὲν ἦν μακρὸς, ἀπέκοπτεν ἐκ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποδῶν αὐτοῦ διὰ τὸ ἰσῶσαι αὐτὸν τῷ κραββάτῳ· εἰ δὲ κονδὸς ἦν, μετὰ σφύρας κατέτυπτε τοὺς πόδας αὐτοῦ, ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ Θησεὺς μόνος. λέγει οὖν ὅτι, ἐὰν ὑπὸ σοῦ ἡττηθήσομαι, οὐ μὴ πιστεύσῃ ἐκεῖνος ὁ Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα. Σίνις: υἱὸς Πολυπήμονος περὶ τὸν Ἰσθμὸν ξενοκτονῶν, ὁ καὶ Πιτυοκάμπτης.

2.572 979. Σκειρωνίδες: ὁ Σκείρων ἐν Μεγάροις ἦν, τύραννος ἄξενος, 6. εἰ γὰρ μὴ A.B. γὰρ om. I. ib. ἐκεῖνος ὁ] φονευθῆναι ὑπ᾽ ἐμοῦ 9. οὐ—Σίνις] οὐ μαρτυρήσει: ἰσθμοΐ. add. A. ib. Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα σῖνις I. ib. Σίνις] Sinin cum Procruste om. A. confundit schol. De Procruste ib. ἐγὼ add. B. Diod. Sic. 14, 59. οὗτος δὲ τοὺς ib. ἐφόνευσα] Hic finitur scholion παριόντας ὁδοιπόρους ἠνάγκαζεν ἐπί τινος in B., reliquis separatim scriptis. κλίνης ἀναπίπτειν, καὶ τῶν μὲν μακροτέρων 16. Σίνις υἱὸς A. separato scholio. τὰ προέχοντα μέρη τοῦ σώματος ὁ σῖν δὲ οὗτος υἱὸς ἦν B. ἦν B. ἦν δὲ ἀπέκοπτε, τῶν δὲ ἐλαττόνων τοὺς πόδας οὗτος ὁ σῖνις υἱὸς I. προέκρουεν, ἀφ᾽ σὗπερ Προκρούστης ὠνομάσθη. ib. Πολυπήμονος] Legebatur Πήμονος. MATTH. μονος. Πολυπήμονος filium Sinin vocat 10. ἐκράτει A. κρατῶν B.I. Apollod. 3, 16, 2. Paus. 1, 38. p. ib. παριόντας] ἀνθρώπους A. 92. ληστὴν Πολυπήμονα ὄνομα, Προκρούστην ib. καὶ προσ. A. καὶ om. B.I. δὲ ἐπίκλησιν, Θησεὺς ἀπέκτεινεν. 12. διὰ τὸ ἰσῶσαι αὐτὸν A.B. Fl. At Ovid. Ibis v. 409. “ut Sinis 6. 15. ἵνα ἐξισωθῇ I. et Sciron et de Polypemone natu” ib. εἰ δὲ κονδὸς (κοντὸς B. Fl.6.15) i.e. Procrustes. MATTH. —τῷ κραββατῷ om. I. 17. Πιτυοκάμπτης] πιτοκάμπτης A. 13. κατέτυπτε] ἀπέκοπτε Fl.6. 15. 18. Σκειρωνίδες] σκιρωνίδες. A.B. ib. πόδας αὐτοῦ] αὐτοῦ om. A. ib. Σκείρων] σκίρων A. 14. λέγει οὖν] οὕτως add. A. ib. ἦν ante ἐν Μεγάροις A. 15. οὐ et πιστεύσῃ om. A. ib. ἄξενος Valcken. pro ξένος. ὃν τῇ χελώνῃ ἔρριψεν ὁ Θησεύς. Σκειρωνίδες δὲ πέτραι καλοῦνται ἀπὸ τοῦ Σκείρωνος τοῦ τὴν χελώνην τρέφοντος, οὗ μέμνηται Καλλίμαχος. οὗτος ἠνάγκαζε τοὺς παριόντας νίπτειν τοὺς πόδας αὐτοῦ, καὶ λακτιζομένους ὑπ᾽ αὐτοῦ βρῶμα ἐποίει γίνεσθαι χελώνης. Θησεὺς δὲ τοῦτον ὑπεράνω τῆς κεφαλῆς ῥίψας εἰς τὴν θάλασσαν ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης.

2.573 983. πάτερ, μένος μέν: ὦ πάτερ, ἡ μὲν δύναμίς σου μεγάλη ἐστὶ καὶ ἡ διάνοια τῶν σῶν φρενῶν· ἀλλ᾽ ὅμως, ἐάν τις ἐρευνήσῃ τὸ πρᾶγμα τοῦτο, οὐ καλόν ἐστι. λέγει δὲ ταῦτα διὰ τὸ νοῆσαι ἐκεῖνον, ὅτι ἡ Φαίδρα αὐτοῦ ἠράσθη, καὶ οὐκ αὐτὸς ἐκείνης. ξύστασις: πύκνωσις, λύπη. οἱ γὰρ χαίροντες ἐκ τοῦ ἐναντίου διαχέονται. A.B.

2.574 984. τὸ μέντοι πρᾶγμα: τοῦτο τὸ πρᾶγμα, ἐν ὅσῳ μέν σοι ἄδηλόν ἐστιν, ὦ πάτερ, δοκεῖ δικαίους ἔχειν κατ᾽ ἐμοῦ τοὺς λόγους· εἰ δέ τις αὐτὸ ἐξετάσει, οὐ σχήσει κατ᾽ ἐμοῦ δικαίαν τὴν μέμψιν.

2.575 987. ἐγὼ δ᾽ ἄκομψος: ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τί ἀκούουσιν, ἐν δὲ τοῖς σοφοῖς λέξω καὶ νικήσω. ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλῳ δημηγορεῖν εἰς ἥλικας, ἤτοι εἰς ὁμήλικας καὶ σοφούς.

2.576 988. ἔχει δὲ μοῖραν: ἀντὶ τοῦ ἔχει δὲ καὶ τοῦτο λόγον, ὅ ἐστιν οὐκ ἀλόγως τοῦτο εἶπον ὅτι ἄκομψος μὲν εἰς λόγον εἰμὶ, εἰς ἥλικας δὲ σοφώτερος· καὶ τοὐναντίον, φησὶν, οἱ παῤ ὄχλῳ φαῦλοι ἐν σοφοῖς μουσικώτεροι λέγειν.

2.577 992. ὅθεν μ᾽ ὑπῆλθες: ὅθεν με κατέβαλες πρῶτα, ὡς διαφθερῶν 2. ἀπὸ τοῦ] τοῦ om. Fl. 6. 15. 15. ἐξετάσει A.B. ἐξετάσαι I. ib. τοῦ—τρέφοντος A.B. ὅς—ὅτρεφεν ib. οὐ σχήσει A.B. οὐκ ἔχει I. 18. ἀναιδῶν] ἀναιδὲς B. Fl. 6. 15. I. 3. οὗτος] ἄλλως. σκείρων οὗτος A. 20. ἀντὶ τοῦ add. B. Fl. 6. 15. ib. αὐτοῦ add. A. om. A.I. 4. ἐποίει om. A. 21. λόγον] ὄχλον A. ib. χελώνης] τῆς χελώνης A. 22. καὶ—] Lemma οἱ γὰο ἐν σοφοῖσι 5. ῥίψας] βίψαι I. φαῦλοι praefixum in A. ib. τὴν om. A.B. ib. φησὶν om. A. 7. ὦ om. I. ib. ἐν σοφοῖς A. Fl. 6. 15. ἐκ σοφῶν 8. σῶν A.B. σοφῶν I. B.I. ib. ἐρευνήσῃ A. ἐρευνόσειε B.I. 24. με add. A. 10. ἡ add. A. ib. πρῶτα] πρῶτον B. 11. ἐκ τοῦ ἐναντίου om. A. ib. διαφθερῶν A. ut videtur. δίαφθιρῶ 14. τοὺς om. I. B.I. ἄνθρωπον ἀπολογίαν οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχοντα. ὅθεν με, φησὶ, διαφθεῖραι ἔδοξας, ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα. Ἄλλως. θεωρεῖς με, ὅτι οὐκ ἀναβλέπω πρὸς σὲ καὶ οὐκ ἀντιλέγω τοῖς ὑπὸ σοῦ λεγομένοις, καὶ διανοῇ ὅτι ἐγὼ αὐτὴν διέφθειρα.

2.578 ὑπῆλθες: ὑπέδραμες, παρελογίσω. Fl. 6.

2.579 993. κοὐκ ἀντιλέξοντ': περισσὸς ὁ καί. A.B.

2.580 996. ἐπίσταμαι γάρ: ἀντὶ τοῦ φίλος εἰμὶ τῶν δικαίων ἀνθρώπων, μήτ' ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις ἐν κακοῖς, ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας. Ἄλλως. ἐπίσταμαι δὲ κτᾶσθαι φίλους τοιούτους, τοὺς μὴ ἐπιχειροῦντας, μηδὲ θέλοντας ἀδικεῖν.

2.581 998. ἀλλ' οἷσιν αἰδώς: ἀλλ' ἐν οἷς πρόσεστιν ἡ αἰσχύνη, καὶ μὴ ὁμιλοῦσι κακὰ, μηδὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι, μηδὲ συμπράττειν τοῖς αἰσχροῖς καὶ τοῖς ταῦτα βουλευομένοις.

2.582 1000. οὐκ ἐγγελαστής: οἷον οὐχ ἕνεκα τοῦ ἐπεγγελᾶν φίλος εἰμὶ, ἀλλ' ἀρετῆς χάριν. Ἄλλως. καὶ οὐδὲ προσγελῶν τοῖς φίλοις μου, ἀλλὰ καὶ τοῖς πρὸς ἐμὲ οὖσι, καὶ τοῖς ἄποθέν μου οὖσιν ὁ αὐτός εἰμι, καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους. Ἄλλως. οὐκ· εἰμὶ ἐγὼ ἐγγελαστὴς, οἷον οὐκ ἐγγελῶ τοῖς περὶ τὰ τοιαῦτα ἔχουσιν, ἀλλὰ μόνον οὐ σύνειμι αὐτοῖς.

2.583 1001. ἀλλ' αὑτὸς οὐ παροῦσι: ἀλλ' ὡς μὴ παροῦσιν αὐτοῖς φίλοις ἐχρώμην καὶ ἐγγὺς ὤν. A. B. αὑτός: ὁ ὅμοιος. A. φίλος: γρ. καὶ φίλοις. B.

2.584 1002. ἑνὸς δ' ἄθικτος: ἑνὸς δὲ πράγματός εἰμι ἀμίαντος, ἐν ᾧ καὶ νομίζεις με μιανθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντον σῶμα ἔχω καὶ τοῦ λέχους οὐκ οἶδα πρᾶξιν.

2.585 1005. γραφῇ τε λεύσσων: καὶ ἐν τοῖς ἀναγνώσμαιν ὁρῶν· καὶ ὅμως οὐδὲ ἐκεῖνο κατασκοπῶ καλῶς, οὕτως ὢν ἀμίαντος.

2.586 1010. ἢ σὸν οἰκήσειν δόμον: ἢ τοὺς σοὺς γάμους λαβεῖν προσεσόκησα καὶ τὸν σὸν οἶκον ὥσπερ κληρονομίαν τινὰ λαβεῖν. ἢ οὕτως, ἠθέλησα μετὰ τοῦ δόμου καὶ τὴν ἔγκληρον καὶ εὔπορόν σου λαβεῖν εὐνήν. A.

2.587 1011. ἔγκληρον εὐνήν: πρὸς τοῖς οἴκοις λαβὼν, καὶ τὴν εὔπορόν σου κοίτην. Ἄλλως. μονοκληρονόμον εἰ προσεδόκησα πατρὸς γυ'ναῖκα λαμβάνειν, μάταιος ἄρα ἤμην.

2.588 1012. οὐδαμοῦ μὲν οὖν φρενῶν: οὐδαμοῦ, φησί, συνέσεως ἤμην ἐγὼ τοιαῦτα ἐννοούμενος.

2.589 1013. ἀλλ' ὡς τυραννεῖν: οὐδαμῶς σώφρων ἐπιθυμεῖ βασιλεύειν, εἰ μὴ ἐκστῇ τῶν φρενῶν. τὸ δὲ ἑξῆς, εἰ μὴ τὰς φρένας διέφθορε τῶν θνητῶν ἡ μοναρχία, οἷς ἁνδάνει ἡ μοναρχία. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ μοναρχία.

2.590 1016. ἐγὼ δ' ἀγῶνας μέν: ἐγὼ δὲ πρῶτος θέλω εἶναι ἐν τῇ κυνηγεσίᾳ καὶ ἐν τῇ φιλοσοφίᾳ, ἐν δὲ τῇ πόλει δεύτερος.

2.591 1019. πράσσειν γὰρ εὖ: ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει καὶ ἀκίνδυνός ἐστιν, ὁ δὲ πόλεως πρῶτος ὢν κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες ἐν κινδύνοις διάγουσιν.

2.592 1022. εἰ μὲν γὰρ ἦν μοι: εἰ γὰρ, φησὶ, καὶ ἕτερος ἦν, τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει, (τοῦτο γὰρ δηλοῖ τὸ οἷός εἰμ' ἐγὼ) οἷα ἐγῶ, καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς. Ἄλλως. εἰ παρῆν μοι μάρτυς δίκαιος, οἷός εἰμι ἐγὼ, ὅ ἐστιν, εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἡμετέροις τρόποις.

2.593 1027. μηδ' ἂν θελῆσαι: μηδὲ εἰς ἔννοιαν ἐλθεῖν ποτε τοῦ μιγῆναι τῇ σῇ κοίτῃ, οὐχ ὅτι λέγεις με καὶ φθεῖραι αὐτήν.

2.594 1028. ἡ τἄῤ ὀλοίμην: διαζευκτικὸς ὁ ἤ, ἢ ὀλοίμην, εἰ κακὸς φανήσομαι. B.I.

2.595 1032. εἰ δ' ἥδε δειμαίνουσ': εἰ δὲ ἑαυτὴν ἐφόνευσε, φοβουμένη, 5. τοῖς οἴκοις] τοὺς οἴκους A. ib. ἐν post εἶναι om. I. 8. Lemma ego addidi. In I. 17. δὲ] γὰρ A. λαμθάνειν. μάταιος ἄῤ ἦν (ἄρα ἦν B. 18. ἐν om. A.B. ἄρα ἤμην A.): οὐδαμοῦ—. 20. ἔλεγε καὶ] λέγων A. ib. ἤμην] ἦν A. ib. εἰμ' ἐγώ]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγὼ εἰμὶ A. hic et l. 22. 10. οὐδαμῶς] οὐδαμοῦ A. ib. οἷα ἐγὼ om. I. 11. διέφθορε A.B. Fl. 6. 15. διέειρε 21. εἰ παρῆν] εἴπερ ἦν μοι I. 25. οὐχ ὅτι—αὐτήν om. A. I. 12. οἷς ἁ. ἡ μ. add. B. Fl. 6. 15. 28. ἐφόνευσε φοβουμένη] φοβουμένη 14. δὲ add. A. ἐφόνευσεν A. ἵνα μὴ κακὴν δόξαν λάβῃ διὰ τὸ ἐρασθῆναι τοῦ υἱοῦ τοῦ ἀνδρὸς αὐτῆς, οὐκ οἶδα. A. Fl. 6. 15.

2.596 1034. ἐσωφρόνησεν: δυνατὸν ἐν ἐρωτήσει, ἵν᾽ ᾖ οὕτως· ἡ Φαίδρα, ὡς σὺ φῇς, ἐσωφρόνησε, καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη, ἐγὼ δὲ ὁ ἔχων οὐκ ἐσωφρόνησα, ἀλλ᾽ ἐβουλήθην αὐτῇ μιγῆναι αὐτῆς μὴ βουλομένης; A.B.I. Ἄλλως. τινὲς δὲ κατ᾽ ἐρώτησιν οὕτως· ἆρα ἡ Φαίδρα μὴ οὐκ ἔχουσα σωφρονεῖν ἐσωφρόνησεν, ἐγὼ δὲ ὁ δυνάμενος σωφρονεῖν οὐκ ἐσωφρόνουν; Ἄλλως. ἐσωφρόνησεν ἡ Φαίδρα εἰποῦσα τὸν ἔρωτα, καίτοι οὐκ εἶχε σωφρονεῖν τοῦ ἔρωτος νικωμένη· ἐγὼ δὲ ἔχων τὴν σωφροσύνην οὐ καλῶς ἐχρησάμην αὐτῇ διὰ τὸ μὴ αὐτίκα μηνῦσαί σοι τὰ κατ᾽ αὐτὴν καὶ δηλῶσαί σοι. A.

2.597 οὐκ ἔχουσα σωφρονεῖν: γρ. οὐχ ἑκοῦσα. A.B. ἀποθανοῦσα, φησὶ, μὴ δυναμένη βαστάζειν τὸν ἔρωτα. A.

2.598 1035. ἡμεῖς δ᾽ ἔχοντες: ἡμεῖς δὲ σιωπήσαντες οὐ καλῶς ἐποιήσαμεν. τὸ γὰρ ἔχοντες ἀντὶ τοῦ σιωπήσαντες, ἢ τὴν σωφροσύνην φυλάξαντες.

2.599 1036. ἀρκοῦσαν εἶπας: ἀπολογίαν ἀρκοῦσαν εἶπας τοῦ μὴ. φονεῦσαί σε τὴν Φαίδραν.

2.600 ἀποστροφήν: ἀποβολὴν, ἀπολογίαν. A. λύσιν, τέλος. B.

2.601 1038. ἐπῳδός: ἀντὶ τοῦ ἀπατεὼν, φαρμάκων ἔμπειρος. εὐοργησίᾳ δὲ πρᾳότητι, βαθύτητι. οὕτως Ἀττικῶς. τινὲς δὲ εὐηθείᾳ, ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος.

2.602 1039. εὐοργησίᾳ: ἀνεξικακίᾳ. B.

2.603 1041. καὶ σοῦ γε κάρτα: θαυμάζω σε, ὦ πάτερ, εἰ ταῦτα καρτερεῖς. εἰ γὰρ ἐγῶ πατὴρ σὸς ἤμην, οὐδαμῶς ἐφυγάδευον, ἀλλ᾽ ἐφόνευον νευον ἄν σε, εἰ ὑπελάμβανον τὴν γυναῖκά μου διαφθείραντα.

2.604 1046. προὔθηκας: ἐπεκύρωσας. A.

2.605 1047. ταχὺς γὰρ ῞Αιδης ῥᾷστος: ἀντὶ τοῦ ἥδιστος. ταχὺς δὲ ἀντὶ τοῦ ὀξύς. οἱ γὰρ ἄδικοι ταχὺ τὸν θάνατον λαμβάνοντες χαίρουσι, διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις.

2.606 1050. μισθός: ἐν πολλοῖς οὐ φέρεται οὗτος ὁ ἴαμβος. B.

2.608 1051. οὐδὲ μηνυτὴν χρόνον: οὐδὲ περιμένεις ὀλίγον χρόνον, ἵνα μάθῃς τὸ ἀσφαλὲς, ἀλλ᾽ οὕτως με διώκεις; .

2.608 1057. ἡ δέλτος ἥδε: αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη, ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ δέχομαι, καὶ ταύτῃ πιστεύω. τοὺς δὲ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω, ἀντὶ τοῦ οἰμώζειν. οὐ παρὰ μάντεων, φησὶ, μαθοῦσα, ἀλλ᾽ αὐτὴ παθοῦσα, καὶ πλέον ἄλλων εἰδυῖα. κλῆρος δέ ἐστι τὸ σημεῖον τὸ διδόμενον τοῖς μαντευομένοις, ἀφ᾽ ὧν οἱ μάντεις ὁρμώμενοι προφητεύουσι περὶ τῶν μελλόντων. τινὲς δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν, οἱ δὲ κλήροις. κλῆρον οὖν τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι, ὅ ἐστι λαχμοῖς. A.B.I. κλῆροι λέγονται τὰ σημεῖα τῆς πτήσεως τῶν οἰωνῶν, ἐξ ὧν οἱ μάντεις προλέγουσιν. A.

2.609 1062. οὐ δῆτα πάντως: ὑφὲν ἀναγνωστέον. καὶ περιττεύει ἡ μία ἄρνησις. οὐ δῆτα: ἀντὶ τοῦ οὐδαμῶς, εἰ λύσω τὸν ὅρκον, ἐγχωρεῖ μὴ πεῖσαί με, καὶ μάτην λύσω τὸν ὅρκον, ὃν ὤμοσα τῇ τροφῷ μηδὲν εἰπεῖν. Ἄλλως. πολλάκις, φησὶν, ἂν εἴπω, οὐ πείθω τι καὶ τοὺς ὅρκους παραβαίνω. A.B.I. Ἄλλως. οὐκ ἄν ποτε πείσω τοὺς περὶ Θησέα, οὕς με δεῖ πεῖσαι, κἂν ἀποκαλύψω τὸν ἔρωτα τῆς Φαίδρας, ὥστε μάτην ἂν συγχέαιμι τοὺς ὅρκους, οὓς πρὸς τὴν τροφὸν τῆς Φαίδρας ἐποιησάμην. A.

2.610

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1065. οὐκ εἶ πατρῴας: τὸ εἶμι τὸ πορεύομαι, καὶ τὸ εἰμί τὸ ὑπάρχω ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον ἀποβολὴν πάσχουσι τοῦ σ παραλόγως. φασὶ γὰρ ποῖ ἄπει καὶ ποῦ εἶ. B.I.

2.611 1066. τίνος ξένων: τίνος τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι; διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται; B.I.

2.612 1068. ὅστις γυναικῶν λυμεῶνας: ὅστις ἥδεται κομίζων τοὺς ξένους λυμεῶνας τῶν γυναικῶν καὶ συνεργάτας τῶν κακῶν. B.I.

2.613 1074. ὦ δώματ’, εἴθε: ὦ οἰκήματα, εἴθε φωνὴν ἀφίετε καὶ ἐμαρτυρήσατέ μοι, εἰ τοιοῦτος ἀνὴρ γέγονα.

2.614 1076. εἰς τοὺς ἀφώνους: γράφεται καὶ σοφῶς, ἵν’ ᾖ σοφιστικῶς καὶ τεχνικῶς. εἰς τὸ φεύγεις ὑποστικτέον. τὸ δὲ λοιπὸν κατὰ ἀπόφασιν, εἰς τοὺς ἀφώνους μάρτυρας φεύγεις, ὅ ἔστιν ἀφώνους μάρτυρας ἐπικαλῇ. καὶ τὸ κατὰ τὴν Φαίδραν πρᾶγμα μὴ φαινόμενον σαφῶς μηνύει τὸ κακόν.

2.615 1078. εἴθ ἦν ἐμαυτόν: εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν.

2.616 1080. πολλῷ γε μᾶλλον: σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ὑπὲρ τοὺς τεκόντας ἢ καλῶς ποιεῖν, ὢν δίκαιος, ὡς αὐτὸς λέγεις· μᾶλλον σεαυτὸν ἤσκησας σέβειν.

2.617 1084. οὐχ ἕλξετ᾽αὐτόν: οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς, οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν.

2.618 1085. πάλαι ξενοῦσθαι: ἐκβάλλειν καὶ ἀποξενοῦν. A. ἐπὶ ξένης γῆς διατρίβειν, ξένος ἀντὶ πολίτου γίνεσθαι. ἔστι δὲ Ἀττικόν.

2.619 1086. κλαίων τις: οὐχ ὡς ἀντιτείνων λέγει, ἀλλ’ ὡς ἐξ ἐλευθέρας χειρὸς ὠθεῖσθαι βουλόμενος· ὄντως ἐάν μέ τις διώξῃ ἐκ τῶν δούλων, κλαίων ἀναχωρήσει· ἐὰν δὲ θέλῃς σὺ, δίωξόν με ἐκ τῆς γῆς ταύτης.

2.620 1090. ἄραρεν: ἀντὶ τοῦ ἔδοξε, κέκριται. B.

2.621 1093. σύνθακε: συγκάθεδρε. B. rec.

2.622 φευξούμεσθα: εἰς Ἀττικήν φησι φεύγειν, ὅτι ὑπὸ μίαν βασιλείαν 1. ἥδεται B. ἥδει I. ib. τὴν om. I. 2. συνεργάτας B. ξυνεργάτας I. ib. φαινόμενον A. φθεγγόμενον B.I. 3. οἰκήματα] δώματα A. 13. σαυτὸν ἐμελέτησας om. A. 4. ἐμαρτυρήσατε] μαρτυρήσατε A. 15. μᾶλλον-σέβειν om. A. 5. καὶ om. A. 16. οὐ—τῆς γῆς om. A. 6. φεύγεις addidit Matth. 17. ὑμῖν] ἡμῖν διώξω αὐτόν A. 7. ὅ ἔστι ἀφώνους μάρτυρας add. 21. ἀντιτείνων A.B. Fl. 6. 15. ἀντειπεῖν I. A.B. Fl. 6. 15., om. I. 8. ἐπικαλῇ A.B. ἐπικαλεῖ Fl. 6. ib. ἐλευθέρας] ἐλευθερίας I. 22. τῶν add. A. ib. καὶ τὸ A. τὸ δὲ B.I. 27. φησι] φασι I. ἦσαν Ἀττική τε καὶ Τροιζήν. καὶ ἑτέραν λέγων ἑκατέραν ὠνόμασεν. καὶ Ἐρεχθέως δὲ γῆν τὸ αὐτὸ λέγει. Ἐρεχθεὺς γὰρ ἐβασίλευσεν εἰς τὰς Ἀθήνας. ἐγκαθηβᾶν δὲ ἐννεάσαι, ἡβητὰς τρέφειν, διὰ τὸ ἔχειν τόπους εἰς τὸ ἡβᾶν ἐπιτηδείους, ὅθεν καὶ ἡβητήρια τὰ γυμνάσια.

2.623 1102. ἦ μέγα μοι τὰ θεῶν: γυναῖκες μέν εἰσιν αἱ τοῦ χοροῦ, μεταφέρει δὲ τὸ πρόσωπον ἐφ’ ἑαυτοῦ ὁ ποιητὴς, καταλιπὼν τὰ χορικὰ πρόσωπα· μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δέ μοι ἀντὶ τοῦ μου, ὡς τὸ “μητέρι μοι μνηστῆρες” τὲ δὲ ἑξῆς· ὄντως μου τὰς λύπας μεγάλως ἀφανεῖς καθίστησι τὰ περὶ θεῶν μελεδήματα, ὅταν εἰς φρένας ἔλθῃ. ὁρῶν δὲ ὁ χορὸς εὐσεβῆ μὲν ὄντα τὸν Ἱππόλυτον, κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον, θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον, καὶ ταράττεσθαί φησι τὴν διάνοιαν, ὑπονοῶν μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρωπίνων, ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τῶν ἀνθρώπων τὰ πράγματα, ἐκ τοῦ τοὺς μὲν ἀδίκους εὖ πράττειν, τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πάσχειν κακῶς. ὁ δὲ νοῦς, ὅταν, φησὶ, θεοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λογίσωμαι, πάσης λύπης ἀπαλλάσσομαι, ἐνθυμούμενος ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι, τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες. καὶ δοκῶν κατὰ τοῦτο συνετὸς εἶναι ἄφρων ἐλέγχομαι, ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. σύνεσιν γάρ τινα ἐν ταῖς ἐλπίσιν ἔχων ἐλαττοῦ καὶ ἀπολείπομαι, βλέπων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις, τουτέστιν ὁπηνίκα ἂν τὰ ἀνθρώπινα ἐννοήσω, ἐλαττοῦμαι, καὶ οὐ μέγα φρονῶ. A.B.I. Ἄλλως. ὁπηνίκα μοι τὰ τῶν θεῶν προνοήματα καὶ αἱ διοικήσεις, καθ’ ἃς τῶν ἀνθρωπίνων ἐπιστατοῦσι πραγμάτων περὶ τὴν ἐμὴν διάνοιαν γένωνται καὶ ἀνασκοπήσω αὐτὰ, μέγα μέρος τῆς λύπης ἀφαιροῦμαι, πρόνοιαν νομίζων εἶναι τὴν δικαίως τὰ ἀνθρώπων οἰκονομοῦσαν. βλέπων δὲ πάλιν εἰς τὰς τῶν 2. καὶ Ἐρεχθέως—Ἀθήνας om. A. 9. ὡς τὸ] Hom. Od 2, 50. ib. καὶ ἐρεχθέως δὲ γῆν τὸ B. Fl. 10. μου] μέν A. 6. 15. καὶ ἐρεχθεὺς δὲ τὸ I. ib. ἀφανεῖς] ἀφανῶς I. 3. δὲ ἐννεάσαι om. A. 14. ἀνθρωπίνων] ἀνθρώπων I. ib. ἐννεάσαι] ἐννεᾶσαι B. ἐννεᾶσθαι 15. ἐκ τοῦ τοὺς] τὰ ἐκ τούτου μὲν A. I. ib. ἀδίκους om. A.B. 4. εἰς A. πρὸς B.I. 16. τὴν om. A. ib. ἡβᾶν A.B. ἡβᾶναι I. ib. πάσχειν B. Fl. 6. 15. πράττειν 8. χορικὰ] χωρικὰ, superscripto A.I. θηλυκὰ, A. χωρικὰ etiam I. 20. ἐν ταῖς] ἐν om. I. ib. γὰρ om. A. 22. ἂν τὰ A.B. αὐτὰ I. ἀνθρώπων τύχας καὶ εἰς τὰς πράξεις αὐτῶν, καὶ ὁρῶν τοὺς μὲν κακοὺς εὐτυχοῦντας, τοὺς δὲ ἀγαθοὺς ἀτυχοῦντας, λείπομαι κατὰ πολὺ καὶ ἄφρων ἐλέγχομαι καὶ ἀμαθὴς, κἂν νομίζω καὶ ἐλπίζω ὅτι σύνεσίν τινα καὶ νόησιν τῶν ἀνθρωπίνων ἔχω πραγμάτων. Ἄλλως. ὁπηνίκα, φησὶν, ἐνθυμοῦμαι ὅτι οἱ θεοὶ προνοοῦνται τῶν ἀνθρώπων, μεγάλως τῆς λύπης ἀναχαιτίζομαι. A.

2.624 1105. ξύνεσιν: σοφίαν δέ τινα ἐν τῇ διανοίᾳ ἔχων, ὡς πρόνοιαν θεῶν λογιζόμενος, ἐκπίπτω ταύτης, ἔν τε ταῖς τύχαις τῶν θνητῶν καὶ ἐν ἔργμασι λεύσσων, τουτέστιν ἐν τοῖς ἔργοις βλέπων. A.B.I. Ἄλλως. νόησιν δέ τινα τῶν ἀνθρωπίνων πραγμάτων ἐλπίζων ἔχειν τῇ διανοίᾳ ἐλέγχομαι κατὰ πολὺ τῆς ἀληθείας λειπόμενος. A. ἐλπίδι κεύθων: ἐν ἐλπίδι δὲ, φησὶ, τιθέμενος τὰ πράγματα, ἀπολείπομαι τῆς ἐλπίδος· οὐ γὰρ ἀποβαίνει καθὼς ἐλπίζω. Fl. 6.

2.625 1108. ἄλλα γάρ: ἄλλα γὰρ ἄλλοθεν πράγματα ἐναλλάσσεται, οἷον πολλὴ μεταβολὴ τῶν ἀνθρωπίνων πραγμάτων.

2.626 1109. μετὰ δ’ ἵσταται: μεταβαίνει εἰς πολλὰ πλανώμενος τοῖς ἀνθρώποις ὁ βίος, οἷον οὐ μένει βέβαιος ὁ αἰὼν, ἀλλὰ μεταβάλ λεται.

2.627 1110. πολυπλάνητος: οἷον, τὸ ζῆν ἀεὶ μεταβάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις.

2.628 1113. καὶ ἀκήρατον ἄλγεσι: καὶ ἐν κακοῖς ἄφθαρτον καὶ ἀβλαβῆ τὴν ψυχὴν παράσχῃ. A.

2.629 1114. δόξα δέ: ὅ ἐστι μὴ σχῶ μεγάλην δόξαν, μήτε μικρὰν, ἀλλὰ μέσην καὶ σεμνήν. παράσημος δὲ ἀντὶ τοῦ ἀδόκιμος, ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων. A.B.I. Ἄλλως. εἰς ἄκρον τελείᾳ ἐν εὐτυχίᾳ, ἤτοι παρὰ τὸ σημεῖον τοῦ ἀτρεκοῦς. τοῦτο δὲ λέγει ὅτι εἴθε μοι ἐδόθη βίος εὐτυχὴς καὶ ἄλυπος, καὶ μήτε βασιλείᾳ 7. ὡς πρόνοιαν] καθ’ ὃ πρόνοια A. 19. πολυπλάνητος: οἷον τὸ A. B. 9. λεύσσων om. A. ἄλλως. τὸ I. ib. τουτέστιν—βλέκων addidi ex 23. ὅ ἐστι A. ἀντὶ τοῦ B. Fl. 6. 15. οἷον I. 14. ἄλλα γὰρ ἄλλοθεν add. A. ib. σχῶ] σχῶν A. 16. μεταβαίνει hic A.B., post πλανώμενος 24. σεμνήν] καλήν A. I. ib. παράσημος δὲ] μήτ’ ἂν παράσημος ib. τοῖς ἀνθρώποις add. A.B. A. 17. βέβαιος A. βέβαιος τοῖς ἀνθρώποις 25. κιβδήλων om. A. B.I. ἐτιμήθην· αὕτη γάρ ἐστιν ἡ ἀτρεκὴς καὶ ὑπερφέρουσα δόξα· μήτε κατὰ τὸν βίον πενία ἐσχάτη καὶ ἀτυχία καὶ ἀδοξία καὶ θλίψις. διὰ τοῦτο γὰρ τῇ παράσημος λέξει ἐχρήσατο, κατ’ ἐναντίωσιν τοῦ ἀτρεκὴς, ἤτοι παρὰ τὸ σημεῖον καὶ τὸ σύμβολον τῆς ἀτρεκότητος καὶ τῆς ὑπερφερούσης δόξης. A. δόκησις δὲ μήτε ἀτρεκὴς ἀντὶ τοῦ ἀκριβὴς, μεγάλη, ἄκρα. B. παράσημος: ἀδόκιμος. B. οἰκτρὰ, εὐτελής. B.

2.630 1115. ῥᾴδια δ’ ἤθεα: ἀντὶ τοῦ εὐχερῆ καὶ ἄλυπα ἤθη ἔχουσα καὶ προβαίνουσα εὐτυχοίην ἀεί. Ἄλλως. εὐχερῶς δὲ τὰ συνήθη μεταβάλλουσα τὸν ὀλίγον χρόνον εὐτυχοίην τὸν βίον. τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑξῆς, εὔκολον δὲ ζωὴν εἰς τὸν καθ' ἡμέραν χρόνον ἀεὶ διαδεχοίμην, καὶ σὺν ἄλλοις τὸν βίον εὐτυχοίην. δύναται δὲ καὶ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι τὸ μεταβαλλομένη ἀντὶ τοῦ μεταβάλλουσα. δύναται δὲ πάλιν εἶναι καὶ τὰ ἤθη μεταβαλλομένη.

2.631 1116. μεταβαλλομένα χρόνον ἀεί; ἀεὶ τὸν αὔριον χρόνον, ἤτοι τὴν ἐφεξῆς ἡμέραν, μεταβαλλομένη καὶ μεταπίπτουσα εἰς συνήθεις διαγωγάς. A.

2.632 1117. βίον συνευτυχοίην: καλῶς ἡ σύν ἔγκειται πρόθεσις, δηλοῦσα ὡς οὐκ ἄκραν εὔχεται εὐδαιμονίαν, οὐδὲ πλεονεκτεῖν τῶν ἄλλων, ἀλλὰ σὺν ἄλλοις εὐπραγεῖν κατὰ τὸν βίον.

2.633 1118. οὐκέτι γὰρ καθαράν: ἀντὶ τοῦ οὐκ ἀτάραχον, οὐκ ἄφοβον, διὸ καὶ μετὰ φυλακῆς ηὐξάμην, οὐ δυνάμενος, φησὶν, ἀνενέγκαι τῇ προνοίᾳ τῶν θεῶν τὰ πράγματα διὰ τὸν Ἱππόλυτον, ὃς ἀδίκως ἐτιμωρεῖτο. Ἄλλως. ἄδηλον εἰς θεοὺς δηλονότι. τοῦτο δὲ ἐν τοῖς ἀνθρώποις συναπτέον, ἵν' ᾖ οὕτως· ἐκπίπτω τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων. οὐκ ἔτι γὰρ καθαρὰν φρένα ἔχω, τουτέστιν 10. δὲ om. A. 18. βίον] βίω A. 11. διαδεχοίμην—ἄλλοις] διαδεχόμενος ib. ἔγκειται—βίον] Brevius in A. τοῖς ἄλλοις A. ἔγκειται ὅτι οὐ πλεονεκτεῖν θέλω, ἀλλὰ 12. δύναται δὲ καὶ ἀ. ἐ. κεῖσθαι] σὺν ἄλλοις εὐτυχεῖν. κατὰ om. I. 21. ἀντὶ τοῦ om. A. κεῖται καὶ ἀ. ἐ. A. 13. τὸ μ. ἀντὶ τοῦ] μ. ὅ ἐστι A. ib. οὐκ ἄφοβον A.B. καὶ ἄφοβον I. ib, πάλιν εἶναι om. A. 22. οὐ δυνάμενος—ἐτιμωμεῖτο addidi 14. μεταβαλλομένη A. B. Fl. 6. ex A. μεταβαλλομένην I. “ Videtur hoc 24. ἐν τοῖς ἀνθρώποις om. A. in dicere: jungi posse vel τὸν αὔρ. lacuna. χρόνον μεταβ. vel τὰ ἤθη μεταβ. ” 25. ἐκπίπτω] ἐκπίπτειν A. MATTH. ib. πρόνοιαν] προνοι A. οὐκ ἔχω γὰρ ἀτάραχον φρένα ἐπὶ τῷ παρόντι, ὅτι ἀδίκως ἀπόλλυται ὁ Ἱππόλυτος.

2.634 1121. ἐπεὶ τὸν Ἑλλανίας: ἀντὶ τοῦ ἀμ' οὗ τὸν τῆς Ἑλληνίδος γῆς. B. τῆς Ἑλληνικῆς χώρας τῶν Ἀθηναίων. A. τὸν ἐπιφανέστατον τῆς Ἀττικῆς. καὶ Ὅμηρος “εὐρυάγυιαν Ἀθήνην.” B. ἐπεὶ τὸν Ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα, καὶ τὰ ἑξῆς. ἀστέρα δὲ λέγει τὸν Ἱππόλυτον διὰ τὸ ἐπιφανὲς τῆς παρθενίας αὐτοῦ.

2.635 1127. ὦ ψάμαθοι: ὦ αἰγιαλοὶ τῆς λευκῆς θαλάσσης ἔνθα ἐγυμνάζετο. A.B.

2.636 1128. ὅθι κυνῶν ὠκυπόδων ἐπέβας μέτα: ὑπερβατὸν, ὅθι μετὰ κυνῶν ἐπέβης ὠκυπόδων, θεᾶς θῆρας ἐναίρων, τοὺς περὶ τὴν Ἄρτεμιν, ὅ ἐστι τοὺς ὑποτεταγμένους τῇ Ἀρτέμιδι.

2.637 θεᾶς μέτα: μετὰ τῆς θεᾶς Ἀρτέμιδος τοὺς θῆρας φονεύων· ἱεροὶ γὰρ αὐτῆς οὗτοι. A.B. ἐναίρων: κρατῶν. B. rec.

2.638 1130. Δίκτυνναν ἀμφὶ σεμνάν: Δίκτυννα ἐκλήθη ἡ Ἄρτεμις διὰ τοιαύτην αἰτίαν. Βριτόμαρτις νύμφη ἐγένετο συγκυνηγέτις τῇ Ἀρτέμιδι. ταύτης ἠράσθη Μίνως, καὶ κατεδίωξεν αὐτὴν ἐπὶ ἡμέρας ἐννέα. καὶ μὴ ὑποφέρουσα ἔτι ἔρριψεν αὑτὴν ἀπὸ τοῦ ὄρους εἰς τὴν θάλασσαν, καὶ ἐσώθη ἐν τοῖς δικτύοις, καὶ τούτου χάριν ἐκλήθη ἡ Ἄρτεμις Δίκτυννα. A.B.I. Ἄλλως. οἱ μὲν Δίκτυνναν αὐτήν φασι τὴν Ἄρτεμιν, οἱ δὲ Ἑκάτην, οἱ δέ τινα ἑτέραν Δίκτυνναν παρεπομένην τῇ Ἀρτέμιδι. Δίκτυννα τούτῳ τῷ ὀνόματι καλεῖται παρόσου διὰ 1. οὐκ ἔχω γὰρ] γὰρ οὐκ ἔχω A. 16. τοιαύτην αἰτίαν] ταῦτα τὰ αἴτια 5. Ὅμηρος] Od. 7, 80. A. ib. εὐρυάγυιαν Ἀθήνην] εὐρυάγυαν ib. βριτόμαρτις] βριτόμαρτυς A. βριτόμαντυς B. B. βριμόμαντις I. κτιτόμαντις 6. καὶ τὰ ἑξῆς et δὲ om. A. Fl. 6. 15. 8. λευκῆς om. A. ib. ἐγένετο] ἐγίνετο A. 10. ὅθι — ἐπέβας] In A. est ὦ ib. συγκινηγέτις A. B. συγκυνηγή δρυμὸς ὄρειος (sic etiam B.): ὅθι κυνῶν τις Fl. 6. 15. συγκυνηγοῦσα I. μέτα ἐπέβας ἐκυπόδων μετὰ θεᾶς τῆς 17. αὐτὴν ἐπὶ] αὐτῆς A. omisso ἐπί. ἀρτέμιδος τοὺς θῆρας φονεύων. ὑπερβατὸν 18. ἐννέα A. θ B.I. etc. 20. Δίκτυνναν] δίκτυναν A. hic et ib. μετὰ] κατὰ I. infra simplici ν, nisi quod loco ultimo 11. ἐναίρων] ἀναίρων A. ἀναιρῶν δικτύννης. Conf. schol. ad v. F. 6. 15. 146. ib. περὶ] ὑπὸ A. 21. ἑτέραν Δίκτυνναν] Aptius foret 15. Δίκτυνναν] δίκτυναν hic et infra ἑτέραν δαίμονα. Post δίκτυναν quinque simplici ν libri, nisi

quod B. in fere literae obliteratae in A. fine scholii δίκτυννα. μεθόθου δικτυηρᾶς οἱ ἐπακτῆρες καὶ κυνηγοὶ τοὺς θῆρας αἱροῦσι, δίκτυον δὲ οἱ ἁλιεῖς οὕτως ἐκάλεσαν τὸ ἀμφίβληστρον. διὰ τὸ ὑπὲρ τῆς μολιβδαίνης τοὺς ἰχθῦς μὴ ἐᾶν ἀναπλέειν, ἀλλὰ παρακατέχειν καὶ ἐναποκλείειν ἔνδον. ἰστέον δὲ ὅτι τὸ ὄνομα τῆς Δικτύννης μᾶλλον τῇ Ἑκάτῃ προσάπτεται ὡς δεῖ, ὡς πᾶσι μὲν παρεπομένῃ θεοῖς, μάλιστα δὲ τῇ Ἀρτέμιδι. δῆλον δὲ ἐκ τοῦ καὶ Ἑκάτην ὀνομάζεσθαι. A.

2.640 1131. συζυγίαν: σύζευξιν τῶν ἵππων. B. Ἐνετᾶν: Ἐνέτη πόλις ἠπείρου, ἔνθα γίνονται καλοὶ ἡμίονοι καὶ πῶλοι. B. πώλων Ἑνετᾶν: Παφλαγονικῶν. Ἑνετοὶ γὰρ ἔθνος Παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὠνομασμένοι; ἴστω ὅτι πολλοὶ βάρβαροι οὐκ ἐκ πόλεως, οὐδὲ ἐκ χώρας, ἀλλ’ ἐξ ἔθνους ὀνομάζονται, ὡς Νομάδες καὶ Βλέμυες. ἡ δὲ ἐπί ἀντὶ τῆς εἰς, οὐκέτι εἰς συζυγίαν Ἐνετᾶν πώλων βήσῃ, ὡς τὸ “ἐς δ’ ὄχεα φλόγεα ποσὶ βήσετο.” .

2.640 1133. τὸν ἀμφὶ Λίμνας τρόχον: Λίμνη τόπος Τροιζῆνος Ἀττικῆς, ἔνθα Λιμνῆτις Ἄρτεμις καλεῖται. παρὰ τὸ πεδίον τῆς Λίμνης τὸ τρεχόμενον τοὺς γυμναστικοὺς ἵππους κατέχων τῷ ποδὶ καὶ γυμνάζων.

2.641 τρόχον: δρόμον. B.

2.642 1134. κατέχων: ἡνιοχῶν. B.

2.643 γυμνάδας ἵππους: τοὺς ἱππαζομένους. ἀντιβαίνοντες γὰρ τῷ ποδὶ ἀνακρούουσι τοὺς χαλινούς. B.

2.644 1135. μοῦσα δ’ ἄϋπνος: τουτέστιν ὑπὸ τῇ κιθάρᾳ παύσεται ἐν τῷ οἴκῳ τοῦ σοῦ πατρὸς ἄϋπνος, ἢ ἄπαυστος. τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ, ἢ τὸν πῆχυν, ὡς κιθαρίζοντος αὐτοῦ. ἡ δὲ ἄϋπνος, φησὶν, ᾠδὴ τῶν χορδῶν τῶν ὑπὸ τῇ ἄντυγι λήξει. B.I. ἄϋπνος: πρωί. B. ἄντυγι: ἡ περιφέρεια. B.

2.645 1137. ἀστέφανοι δέ: αἱ δὲ ἀναπαύσεις τῆς θυγατρὸς Λητοῦς, ὅ ἐστι τῆς Ἀρτέμιδος, αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστέφανοι ἔσονται. λείπει γὰρ τὸ ἔσονται. B.I. Ἄλλως. αἱ ἀναπαύσεις τῶν κορῶν τῶν σνγχορευουσῶν περὶ τὸ τῆς Λητοῦς ἱερὸν ἀστέφανοι ἔσονται, τουτέστι λυπηθήσονται ἐπὶ σοὶ αἱ παρθένοι. A.B.I. τινὲς δὲ τὸ ἀστέφανοι κατ’ ἐπίτασίν φασιν ἀντὶ τοῦ πολυστέφανοι ἔσονται, τὸ α λέγοντες ἐπιτατικόν. B.I. κόρας: Ἀρτέμιδος. τῆς κόρης πρὸς τὸ Λατοῦς. B.

2.646 1138. βαθεῖαν: τὴν κατάπυκνον. B. χλόαν: ὕλην. B.

2.647 1140. φυγᾷ σᾷ: διὰ τὴν φυγὴν οὐκέτι ἁμιλληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου, τίς σοι δοθήσεται γυνή. Ἄλλως. φυγάδος σου ὄντος ἡ φιλονεικία τῶν παρθένων τῶν ἐπιδοξαζομένων τῷ σῷ γάμῳ ἀπώλετο. B.I.

2.648 1141. λέκτρων: ἃ ἦσαν. B. ἅμιλλα: ἡ περὶ νυμφιδίου ἅμιλλα, ὅ ἐστι φιλονεικία καὶ ἐναντίωσις. B.

2.649 1142. δάκρυσι: ἐν τοῖς δακρύοις διάξω βίον δυστυχῆ. B. ἐν τοῖς δακρύοις διάξω καὶ ζήσω. A.

2.650 1143. πότμον ἄποτμον: θάνατον κακοθάνατον. A.B. κακὸν, δυστυχῆ. B.

2.651 1145. μανίω: ἐπειδὴ οὐκ ἀπέλαυσεν αὐτοῦ. A.B. ὀργίζομαι, σχετλιάζω τοῖς θεοῖς. A. ὀργίζομαι, χαλεπαίνω τοῖς θεοῖς. B.

2.652 1147. συζυγίαι Χάριτες: αἱ ἔφοροι τοῦ γάμου. B. αἱ συνεζευγμέναι Χάριτες τῷ Ἱππολύτῳ, αἱ συζευγνῦσαι, ὅ ἐστι γαμήλιοι, ἀντὶ τοῦ ὦ Χάριτες ἔφοροι τῆς συζυγίας.

2.653 1150. οὐδὲν ἄτας αἴτιον: οὐδεμιᾶς βλάβης ὄντα αἴτιον. B.

2.654 1152. δόμους: τούσδε. B.

2.655

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1157. Θησεῦ, μερίμνης: οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίτας δέ φησι τοῦ Θησέως Ἀθηναίους καὶ Τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστὶν, ἐκ μὲν πατρὸς Ἀθηναίων, ἐκ δὲ μητρὸς Τροιζηνίων. A.B.I. λύπης. B.

2.656 1159. καὶ γῆς τέρμονας: περὶ τὰ τέλη τῆς Τροιζῆνος· τέρμονας γὰρ Τροιζῆνος τοὺς ὅρους φησίν. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησὶ, Τροιζῆνα καὶ Ἀθήνας. B.I.

2.657 1162. ὡς εἰπεῖν ἔπος: ὡς ἐν συντόμῳ εἰπεῖν. A.

2.659 1164. πρὸς τοῦ: ἀντὶ τοῦ μέλλει θνήσκειν. B. ἀπώλετο δηλονότι. μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν, ὡς καὶ τὴν ἐμὴν, κἀκεῖνος φονεύει αὐτόν; .

2.659 1168. κρέοντι: βασιλεῖ, κρατοῦντι. B. ἠράσω πέρι: ἡ περί ἀντὶ τῆς κατά, κατὰ τοῦ σοῦ παιδός. ὦ Πόσειδον, ὄντως ἔμαθον ὅτι ἐμὸς εἰ πατήρ.

2.660 1171. τῷ: ποίῳ. B.

2.661 1172. ῥόπτρον: τὸ τῆς δικαιοσύνης ὅπλον. A. ἡ πάγη. B. ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους, καὶ ἡ πάγη, καὶ τὸ ἐπίσπαστρον. Ἄλλως. πλῆγμα. κυρίως δὲ ῥόπτρον τὸ τῆς δίκης ῥόπαλον, ἀπὸ τοῦ ῥαπίζω. B.I.

2.662 1173. κυμοδέγμονος: ἡμεῖς μὲν ἐν τῷ αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου.

2.663 1174. ψήκτραισιν: ἀπὸ τοῦ καταψήχειν ὠνομάσθη ψήκτρα. B.I.

2.664 1176. ὡς οὐκέτ’ ἐν γῇ: ὁ Ἱππόλυτος φεύγει, φησὶ, τὴν ἰδίαν γῆν καὶ πόλιν.

2.665 1178. ταὐτὸ δακρύων: ὁ δ’ ἦλθε θρηνῶν, οὐ περὶ ἄλλων δακρύων, ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς. A. ἀντὶ τοῦ τὸν αὐτὸν στενάζων στεναγμόν. B.I.

2.666 1179. μυρία δ’ ὀπισθόπους: ἀντὶ τοῦ πολλὴ προπομπὴ, πολλὴ ἄθροισις, ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου.

2.667 1180. ἅμ̓ αὐτῷ. B.

2.668 1181. ἀπαλλαχθείς: ἀπαλλαγείς. B.

2.669 1182. τί ταῦτ’ ἀλύω: λείπει ἡ διά, διὰ τί δυσφορῶ, διὰ τί ἀδημονῶ καὶ θρηνῶ; οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς.

2.670 1183. ἐντύναθ̓: ζεύξατε. B.

2.671 1186. ἐξηρτυμένας: ἡτοιμασμένας· ἀντὶ τοῦ ταχέως, ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα.

2.672 1188. μάρπτει δὲ χερσίν: περιάπτει. B. εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι, ὅπως δοκοῖεν οἱ ἵπποι ὑπό τινος ἄρχεσθαι, ὡς ὁ ποιητὴς “ἐξ ἄντυγος ἡνία τείνας.” A.B.I. Ἄλλως. λαμβάνει τοὺς χαλινὺς ἐν ταῖς χερσὶ, καὶ κρατεῖ ἐν τοῦ ἅρματος. B.I.

2.673 1189. αὐταῖσιν ἀρβύλαισιν: πεδίλοις, ὑποδήμασιν. A. καταχρηστικῶς τοῖς τόποις ἐν οἷς πατοῦσιν οἱ ἡνίοχοι. B. ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος.

2.674 1190. καὶ πρῶτα μὲν θεοῖς: ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. B.I. ἀναπτύξας: ἀνατείνας. B.

2.675 1192. αἴσθοιτο δ’ ἡμᾶς: καὶ μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με. ἑνικῷ πληθυντικὸν ἐπήγαγεν· διὸ τὸ χ.

2.676 1194. ἐπῆγε κέντρον: ἀντὶ τοῦ μάστιγα ἐπὶ τοὺς ἵππους μετήνεγκε. B.

2.677 1195. ἐφ’ ἅρματος: ἀντὶ τοῦ παρὰ τῷ ἅρματι ὡς τὸ “Ἀθηναίης ἐπὶ γούνασι.” A.B.

2.678

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1197. εὐθύς: πλησίον. B. κἀπιδαυρίας: Κορίνθου. B. ἔνθα ἐτιμᾶτο ὁ Ἀσκληπιός. σεσημείωται ὅτι οὐ λέγουσι τὴν ἐπ’ εὐθείας. B. ὅσον: εἰς. B.

2.679 1198. ἔρημον: εἰς. B. εἰσεβάλλομεν: ἐφθάσαμεν. B.

2.680 1199. τοὐπέκεινα: μακρόθεν. B. ἀκτὴ, ἀκρώρεια. τοὐπέκεινα δὲ ἀντὶ τοῦ πόρρω. B.

2.681 1200. ἤδη: τὸ ἤδη πρὸς τὸ ἔρημον. B.

2.682 κειμένη Σαρωνικόν: Σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ Κορίνθῳ, ἱερὸς Ἀρτέμιδος, ἐν ᾧ φασι τὴν Σκύλλαν ὑπὸ Μίνωος ἑλκυσθῆναι. ὄνομα οὖν ἐστι πελάγους, ὀνομασθὲν ἀπό τινος Σάρωνος κυνηγοῦ. οὗτος διώκων ἔλαφον ἐμάνη, καὶ ἡ ἔλαφος διωκομένη ἔρριψεν ἑαυτὴν εἰς τὸ πέλαγος, καὶ αὐτὸς δὲ τῇ μανίᾳ φερόμενος ἑαυτὸν ἔρριψεν εἰς τὸ αὐτὸ πέλαγος, καὶ ἐκεῖ ἀπεπνίγη. ἄλλοι δέ φασιν ὅτι ἐκ τῆς Σκύλλης τῆς θυγατρὸς Νίσου τοῦ ἀδελφοῦ τοῦ Αἰγέως καὶ Πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς Μέγαρα, ἐάσας τοὺς ἀδελφοὺς αὐτοῦ μαχομένους περὶ τῆς βασιλείας. καὶ ἦν εἱμαρμένον μὴ περιληφθῆναι τὸν τόπον ἐν ᾧ ἦν ὁ Νῖσος, ὃς εἶχε χρυσοῦν πλόκαμον ἐν τῇ κεφαλῇ αὐτοῦ. ὁ οὖν Μίνως στρατοπεδεύσας κατ’ αὐτοῦ οὐκ ἠδυνήθη παραλαβεῖν, ἕως οὗ εἶχε τὸν χρυσοῦν πλόκαμον. ἡ δὲ θυγάτηρ αὐτοῦ 13. φασὶ] φησὶ A. 20. τῆς add. A. ib. Σκύλλαν] Simplici λ hic et ib. ἦν εἱμαρμένον (ἣν ἥμαρτ` A.) μὴ infra A. περιληφθῆναι (παραληφθῆναι A.) τὸν ib. Μίνωος] μίνω (o a m. rec.) A. τόπον ἐν ᾧ (pro τὸν τόπον —Νίσος ὃς in 15. ἐμάνη] ἔμηνε A. A. est τὴν νῆσον ἐφ’ὅσον) addita ex 16. δὲ om. A. A.B. Fl. 6., desunt in I. ib. ἑαυτὸν ἔρριψεν] ἔρριψεν ἑαυτὸν I. 21. Νῖσος] νίσος libri. 17. αὐτὸ add. A. ib. χρυσοῦν] τὸν χρυσοῦν A. ib. ἐκεῖ add. A.B. ib. ἐν τῇ κεφαλῇ A.B. ἐπὶ τῆς κεφαῆς ib. ἀπεπνίγη] ἐπνίγη A. I. 18. Σκύλλης] σκύλας A. 22. οὖν] δὲ A. ib. Νίσου] τῆς νόσου A. ib. στρατοπεδεύσας] στρατοπεδήσας A. ib. τοῦ αἰγέως A. τοῦ om. B.I. ib. παραλαβεῖν] παρασχεῖν A. ib. Πάλλαντος] τάλαντος A. 23. ἕως οὗ] ὅσον A. 19. οὗτος] οὕτω A. ib. χρυσοῦν om. A. ib. αὐτοῦ om. A. Σκύλλα θεωρήσασα τὸν Μίνωα, ἐφίλησεν αὐτὸν, καὶ συνετάξατο αὐτῷ προδοῦναι τὴν πόλιν, εἰ λάβοι αὐτὴν γυναῖκα. ὁ δὲ συνέθετο. καὶ παραγενομένη τέμνει τοῦ τεκόντος τὸν πλόκαμον, καὶ τὴν πόλιν παρέδωκε. καὶ μετὰ τὸ παραλαβεῖν τὴν πόλιν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλοίου, καὶ ἔδησεν αὐτὴν εἰς τὸ πλοῖον. καὶ ἔμεινε συρομένη ἐν τῇ θαλάσσῃ. καὶ διὰ τοῦτο ἐκλήθη τὸ πέλαγος Σαρωνικόν. ἐκπεσοῦσα δὲ ἐν τῇ θαλάσσῃ καὶ θηρίον γενομένη τὴν ἰδίαν φύσιν οὐδαμῶς μετέβαλεν.

2.683 1204. νεανικός: ἰσχυρὸς, μέγας. B. Fl. 2.

2.684 1205. ἁλιρρόθους: τοὺς περιρρεομένους τῇ θαλάσσῃ. B.

2.685 1206. ἀκτὰς ἀποβλέψαντες: εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν ἦν τὸ κῦμα ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ἐκ τοῦ ὕψους, φησὶ, τοῦ κύματος οὐκέτι ἑώρων τὴν Σκειρωνίδα ἀκτήν.

2.686 ἱερόν: ἀντὶ τοῦ μέγα. B. Fl. 2.

2.687 1207. στηρίζον: ἐγγίζον. A. γειτνιάζον, ἐγγίζον. B.

2.688 1209. ἰσθμόν: τὸν τῆς Κορίνθου. B.

2.689 1210. κἄπειτ̓, ἀνοιδῆσαν: τὸ κῦμα εἰς ὕψος ᾐρμένον. ἰσθμὸν δὲ τὴν στενὴν γῆν, τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων. διαφέρει δὲ ἰσθμὸς πορθμοῦ. ἰσθμὸς μὲν γάρ ἐστιν ὁ μεταξὺ δύο θαλασσῶν πορεύσιμος τόπος, πορθμὸς δὲ τὸ ἀνάπαλιν. καὶ τέθριππος ὄχος τὸ ὄχημα τὸ ἐκ τεσσάρων ἵππων ἐζευγμένον, τοῦ Ἱππολύτου δηλονότι.

2.690 1211. καχλάζον: ψοφεῖ. B.

2.691 1212. τρικυμίᾳ: ζάλη. B.

2.692 1215. οὗ πᾶσα: οὗτινος ταύρου βοῶντος πᾶσα ἡ γῆ φωνῆς ἐπληρώθη. B.

2.693 1216. φρικῶδες: ἰσχυρότερον τῆς θέας. οἷον, ὑπὲρ θέαν ἦν τὸ ἐκταθὲν, ὡς μηδὲ φέρειν τὴν φωνὴν τὴν ἀκοὴν μηδὲ τὴν θέαν τὰ ὄμματα. B.

2.694 1217. δεργμάτων: ἀποσκοπῆς τῶν ὀφθαλμῶν. B. τῶν βλεμμάτων. B.

2.695 1219. καὶ δεσπότης μέν: ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. καὶ ὁ μὲν Ἱππόλυτος, διὰ τὸ μὴ θροηθῆναι τοὺς ἵππους αὐτοῦ, ἐπέπεσεν αὐτοῖς, καὶ ἔσφιγξε τοὺς χαλινούς. B.I.

2.696 ἤθεσι: μελέταις. B.

2.697 1220. πολὺς ξυνοικῶν: ἀντὶ τοῦ λίαν ἔμπειρος ὢν συνηθείαις καὶ τέχναις ἱππικαῖς. A.B. πολύς: λίαν. B.

2.698 ἥρπασ’ : ἀνέκρουσεν, ἀνέτεινεν. B.

2.699 1221. ἕλκει δὲ κώπην: τὸ ἑξῆς, ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέγει. ἕλκει δὲ εἰς τοὔπισθεν, ἱμᾶσιν ἀρτήσας δέμας, ὡς ναύτης κώπην ἕλκων εἰς τοὔπισθεν. Ἄλλως. ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον καὶ διασώζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει.

2.700 κώπην: μάστιγα ἢ ἡνίας. B.

2.701 1222. ἀρτήσας: ἐκκρεμάσας. B.

2.702 1223. αἱ δ’ ἐνδακοῦσαι: αἱ δὲ πῶλοι δακοῦσαι καὶ ἐγκρατήσασαι τοὺς χαλκοῦς χαλινοὺς, τοὺς ἐκ πυρὸς γενομένους, ἐν ταῖς σιαγόσι, καὶ διάπυροι γενόμεναι ἔτρεχον, καὶ μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι μήτε τῶν χαλινῶν.

2.703 1225. ἱπποδέσμων: ἡνιόχων. B. rec. χαλινῶν. B. rec.

2.704 1226. κεἰ μὲν εἰς τὰ μαλθακά: καὶ εἰ μὲν εἰς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποιεῖτο, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων καὶ ἐθρόει αὐτοὺς, εἰ δὲ εἰς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι, ὄπισθεν περιεπάτει ὁ ταῦρος καὶ προσπελάζων τῇ περιφερείᾳ συνηκολούθει.

2.705 τὰ μαλθακά: ἰσόπεδα τῶν δρόμων. B. rec. οὐ φροντίζουσαι τοῦ εὐκατασκευάστου ἅρματος. B.

2.706 1227. οἴακας: τὰς ἡνίας τροπικῶς. B.

2.707 1228. τοὔμπροσθεν: τῶν ἵππων. B. rec.

2.708 1229. τέτρωρον: τὸ ἐκ τεσσάρων ἐζευγμένον ἅρμα. B.

2.709 1230. μαργῶσαι: μαινόμεναι. B.

2.710 1232. ἐς τοῦθ’: ἕως ἔρριψεν αὐτόν. A.B.

2.711 1233. ἁψῖδα: ἀψῖδα νῦν τὸν τροχὸν ἐκάλεσεν. A.B. κύκλον τροχῶν. B.

2.712 1234. σύμφυρτα: σύμμικτα. B.

2.713 σύριγγες αἱ χοινικίδες. B.

2.714 1235. ἐνήλατα: τὰ ἐμβαλλόμενα ταῖς χοινικίσιν. A.B. οἱ πασσαλίσκοι οἱ πρὸς τῷ ἄξονι, τὰ καλούμενα ἁμαξηδόνια, αἱ χνόαι, ἢ τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν. A. B.I. Ἄλλως. τὰ μικρὰ ξύλα τὰ ὡσανεὶ ἧλοι πεπηγμένα ἐν τῷ ἄξονι. A.

2.715 1239. θραύων δὲ σάρκας: ἀντὶ τοῦ θραυόμενος, ἤτοι συντριβόμενος, κατακλώμενος τὴν κεφαλὴν, ἐν ταῖς πέτραις. A.B.I.

2.716 1240. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη. A.B.

2.717 1247. ἵπποι δ’ ἔκρυφθεν: οἷον, οἱ δὲ ἵπποι καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμοῦ ἐφάνησαν, ἀλλ’ ἀφανῆ ἐγένοντο ἀφ’ ἡμῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.718 1248. λεπαίας δὲ ἤτοι κατὰ τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς, ἤτοι τῆς ὀρεινῆς, παρὰ τὸ λελεπίσθαι. A.B.I. τῆς ἀκροτάτης, τῆς ὀρείας. B.

2.719 1252. οὐδ' εἰ γυναικῶν: οὐ δυνήσομαι ποτὲ πιστεῦσαι ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης, οὐδὲ ἐὰν καὶ τὸ γένος τῶν γυναικῶν ὅλον ἀποθάνῃ.

2.720 1253. καὶ τὴν ἐν Ἴδῃ: ἄδηλον ποίαν Ἴδην. ἀντὶ τοῦ οὐδὲ ἐὰν 13. ἁμαξηδόνια A.B. Fl. 6. ἁμαξηδόνιαι 22. δὲ ἤτοι om. A. I. ib. κατὰ om. I. ib. αἱ χνόαι B. Fl. 6. ὄχαι I., 23. ἤτοι et τὸ om. A. om. A. 25. οὐ δυνήσομαι ποτὲ πιστεῦσαι] οὐδαμῶς 14. ἐμβαλλόμενα] βαλλόμενα A. A. 17. ἤτοι et κατακλώμενος om. A. 26. καὶ add. A.B. 20. οἷον om. A. ib. ὅλον hic A., post γένος B.I. 21. οὐδαμοῦ A. οὐδαμῶς B.I. 27. ἀποθάνῃ] ἀπέθανεν A. ib. ἀλλ—ἡμῶν om. A. 28. ἀντὶ τοῦ om. I. πληρώσῃ γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης. Ἴδη δὲ ὄρος σύνδενδρον ἐν τῇ Τροίᾳ.

2.721 1256. οὐδ' ἔστι μοίρας: τοῦ δέοντος καὶ μεμοιραμένου, τοῦ δικαίου καὶ ἀναγκαίου οὐκ ἔστιν ἀπαλλαγή. τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἐπιρρηματικὴν σύνταξιν ἔχουσα.

2.722 τοῦ χρεών: τοῦ πεπρωμένου, τοῦ θανάτου. τοῦ χρέους. B.

2.723 1257. μίσει μὲν ἀνδρός: τραγῳδεῖ Θησεύς· ἐπειδὴ, φησὶ, μισῶ αὐτὸν, ἐχάρην, ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυποῦμαι, διότι ἐξ ἐμοῦ ὑπάρχει γεννηθείς.

2.724 μίσει: διὰ τὸ μῖσος. B.

2.725 1259. ἐστὶν ἐξ ἐμοῦ: ἐκυήθη. B.

2.726 1261. πῶς οὖν: ἀπὸ κοινοῦ τὸ χρή. ὁ δὲ νοῦς, πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον, ἢ τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί.

2.727 1263. ἐμοῖς δέ: χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασιν οὐδέποτε σκληρὸς γενήσῃ εἰς τὸν σὸν υἱόν. B.I.

2.728 1268. σὺ τὰν θεῶν ἄκαμπτον φρένα: τὴν ἀμετάβλητον, τὴν ἀκαταγώνιστον, μὴ καμπτομένην περιάγεις. A. Ἄλλως. σὺ, φησὶ, τὴν ἀνυπόστατον τῶν θεῶν καὶ ἀνθρώπων φρένα περιάγεις καὶ ὑποτάσσεις, ὦ Ἀφροδίτη, σὺν τῷ Ἔρωτι.

2.729 ἄκαμπτον φρένα: σκληρότητα. B.

2.730 1270. ἄγεις: κυριεύεις. B. σύν σοι βουκολεῖς, ποιμαίνεις. B. rec.

2.731 ἀμφιβαλὼν δὲ ἀντὶ τοῦ περισκεπάσας. σκέπει γὰρ τῶν ἐρώντων τὴν θέαν, ἵνα καὶ τὰ ἄμορφα ἐράσμια ὁρῶμεν. B.I. καταπαύσας. B. περισκεπάσας. B. rec.

2.732 1271. πτερῷ: βέλει. τὸ ἄγεις ἀπὸ κοινοῦ. B.

2.733 1272. εὐάχητον: τὸν ἀποτελοῦντα μέγαν ἦχον. B.

2.734 1274. θέλγει: ἐκεῖνον. B. φλέγει δ' Ἔρως: γρ. θέλγει. A. rec. ᾧ μαινομένᾳ κραδίᾳ: ᾧτινι σὺν τῇ μαινομένῃ καρδίᾳ ἐφορμήσει πτηνὸς ὤν. A.

2.735 1275. πτανός: πεταστός. B.

2.736 1276. χρυσοφαής: ὁ Ἔρως ὁ χρυσοφαὴς, τουτέστιν ὁ λαμπρὸς ὤν. Ἄλλως. οὐ προσηνὴς ὁ χρυσὸς, ἀλλὰ τὸ εἶδος χρυσοφαής. φύσιν ὀρεσκώων: φύσιν ἔχων θηρὸς, ἀντὶ τοῦ ἄγριος ὢν τοῖς ποθοῦσι, καὶ τῶν ἐν θαλάττῃ θηρίων φύσιν ἔχων καὶ τῶν ἐν τῇ γῇ. ὁ δὲ νοῦς τοιοῦτος· ᾧ ἂν ἐφορμήσῃ ἢ τῶν ὀρείων, ἢ τῶν πελαγίων, ἢ τῶν ἐν τῇ γῇ, ἣν ὁ ἥλιος καταλάμπει.

2.737 1279. δέρκεται: ταῖς αὐγαῖς ὁ ἥλιος θεωρεῖ. B.

2.738 1280. ἄνδρας τε: ἀντὶ τοῦ ἀνθρώπων ἄνδρας κατ' ἐξοχὴν εἶπεν. B.I.

2.739 1286. τοῖσδε: ταῖς κατὰ τὸν Ἱππόλυτον κακώσεσι. B.

2.740

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1289. ἀφανῆ: εἰργάσω ἀφανῶς καὶ ἀνεξελέγκτως, πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς γυναικὸς, καὶ τοῦτο ποιήσας φανερὰν ἔσχες βλάβην.

2.741 1290. πῶς δ' οὐχ ὑπὸ γῆς: τὸ πῶς οὐκ ἀπὸ κοινοῦ, ἵν ᾖ οὕτως, πῶς οὐ πτηνὸς ἄνω μετελθὼν τὸν βίον πήματος ἔξω πόδα τόνδ' ἀνέχεις. μεταβὰς δὲ μεταβιβάσας, μεταβαλὼν, μεταλλάξας τὴν ζωὴν, καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον.

2.742 1292. μεταβὰς βίοτον: παραδραμὼν ζωήν σου. B.

2.743 1293. πήματος: τοῦ μιάσματος. B.

2.744 ἀνέχεις: ἀναφέρεις. B.

2.745 1294. ὡς ἐν ἀγαθοῖς ἀνδράσι: τοῦτό φησιν, εἰς ἀγαθοὺς ἄνδρας οὐκέτι μετρηθήσεταί σου ὁ βίος.

2.746 1295. κτητόν: κατατεταγμένον. B.

2.747 1246. κακῶν κατάστασιν: διήγησιν. A.B.

2.748 1297. προκόψω: ἀπὸ τοῦ νῦν. B.

2.749 1298. ἀλλ' εἰς τόδ' ἦλθον: ὁ ἀλλά ἀντὶ τοῦ γάρ, ἀντὶ τοῦ φανερώσω τὴν σωφροσύνην τοῦ σοῦ παιδὸς, καὶ τῆς σῆς γυναικὸς τὸν οἶστρον. ἢ τάχα οὐκ οἶστρον, ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ τὴν σωφροσύνην. γενναιότητα δὲ λέγει τὸ σπουδάσαι κρύψαι τὸν ἔρωτα.

2.750 1300. οἶστρον: γρ. ψεῦστιν, ἤγουν τὴν ψευδολόγον. B.

2.751 1303. δηχθεῖσα: συσχεθεῖσα τοῖς πόνοις τῆς Ἀφροδίτης, τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ. A.B.I. τὸ δὲ "γνώμῃ νικᾶν τὴν Κύπριν πειρωμένη" ἀντὶ τοῦ τῷ λογισμῷ τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ Ἱππολύτῳ, διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός. B.I.

2.752 1306. ἢ σῷ δι' ὅρκων: ἥτις τροφὸς τῷ σῷ υἱῷ τὸν ἔρωτα ἐσήμανεν.

2.753 1307. ἐφέσπετο: τῆς τροφοῦ. B.

2.754 1313. ἀλλ' ἔχ' ἥσυχος: ἀλλ' ἡσύχαζε, ὡς ἂν οἰμώζῃς πλέον τὸ μετὰ ταῦτα ἀκούσας.

2.755 1314. τοὐνθένδ': τὸ μετέπειτα. B.

2.756 1316. ὧν τὴν μίαν παρεῖλες: παρέπεμψας, ἀπώλεσας, ἀφεῖλες, ὧν ἐξεῖλες τὴν μίαν εὐχὴν ἀπὸ τῶν τριῶν ὧν ἔλαβες ἀπὸ τοῦ πατρὸς, καὶ ἀπώλεσας τὸν υἱόν.

2.757 1319. ᾔνεσε: ἐπηγγείλατο. B.

2.758 1320. ἐκείνῳ: τῷ Ποσειδῶνι. B. rec.

2.759 1330. θέλοντος: γρ. μέλλοντος. B.

2.760 1331. ἐπεὶ σάφ' ἴσθι: ἐπεὶ προεῖπε παρὰ θεοῖς εἶναι νόμον τὸ μὴ ἀντιπράττειν ἀλλήλοις, φησὶν ὅτι, εἰ μὴ νόμος ἐκώλυεν, ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα, μὴ εὐλαβουμένη τὸν Δία. ἐν τίνι γὰρ ἔμελλεν αὐτὸν εὐλαβεῖσθαι, μηδὲ νόμον λύουσα, ἀλλὰ καὶ εὐσεβῆ 1. διήγησιν] τὴν διήγησιν B. Matth. 3. ἀντὶ τοῦ φανερώσω] ἀντιφανερώσω 10. ἐχθίστης] μισητῆς A. A. ib. ὁπόσαι] ὅσαι A. 4. καὶ τῆς—οἶστρον] οἶστρον ἡ τρόπον 17. οἰμώζῃς—τὸ] οἰμώζη—τὰ B.I. 26. θεοῖς] τοῖς θεοῖς Fl. 6. 15. τινὰ A. 6. τὴν σ.] τὴν om. A. ib. εἶναι om. I. ib. δὲ A. γὰρ B.I. ib. τὸ et φησὶν add. B. 9. πόνοις— εἰσὶν] πόθοις— ἐσμὲν ἄνδρα σώζουσα; καὶ γὰρ ἀγαθὰ καὶ ἔννομα διαπραττόμενος ἐξουσίαν οὐ δέδοικεν. καὶ γὰρ, εἰ μὴ νόμος με εἶργε, κωλυομένη ὑπό τινος λοιπὸν ἀδεῶς ἐβοήθουν αὐτῷ. B.I.

2.761 1338. ἔρρωγε: δὲ ἀντὶ τοῦ συνερράγησαν, συνέπεσον, ἢ συμβεβήκασι. ἔρρευσεν. B. κατὰ σοῦ ἐρράγη τὰ κακά. A.

2.762 1346. δίδυμον: τὴν Φαίδραν καὶ τὸν Ἱππόλυτον. B.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.763 1349. δύστηνος ἐγώ: ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ Ἀπόλλωνος ὁ Θησεὺς ὅτι εἰς ὃ ἂν εὔξηται τῷ Ποσειδῶνι τρίτον τελειοῦται αὐτῷ. χρησμοῖς δὲ τοῖς αἰτήμασι, ταῖς κατάραις. εἰσὶ δὲ αἱ εὐχαὶ Θησέως πρὸς Ποσειδῶνα τρεῖς, πρῶτον ἀνελθεῖν ἐξ Ἅιδου, δευτέρου ἐκ λαβυρίνθου, τρίτον Ἱππολύτου θάνατον.

2.764 1350. χρησμοῖς: διαβολαῖς. A. αἰτήσεσι. B.

2.765 1353. σφάκελος: σπαρσγμὸς, ὁ μετὰ ὀδύνης σπασμὸς, κατὰ συγγένειαν τοῦ π εἰς φ. A.B. Fl. B.

2.766 1355. στυγνόν : μεμισημένον τοῦ ἱππασμοῦ. B.

2.767 1356. βόσκημα χερός: ἀνάθρεμμα. A. τὸ τραφὲν ταῖς χερσί μου. B.

2.768 1360. τὶς ἐφέστηκεν δεξιᾶ: γρ. ἐνδέξια χωρὶς τοῦ ῑ, ὡς τὸ ἐνδέξια φῶτα ἕκαστον.” B.

2.769 1361. πρόσφορα: προσεχόντως. B.

2.770 σύντονα δ’ ἕλκετε: ἀντὶ τοῦ συντόνως, ἤγουν ἁρμοδίως καὶ προσεχόντως καὶ συμφώνως, μὴ ὁ μὲν ἄνω, ὁ δὲ κάτω, ἀλλ’ ἐξ ἴσου βαστάζετε ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μουσικῶν τόνων.

2.771 1362. κατάρατον: τὸν κατάραις ἀπολλύμενον. B.

2.772 1366. κατάκρας γρ. κατὰ γᾶς. A.

2.773 κατὰ γᾶς: γρ. καὶ κατ’ ἄκρας. B.

2.774 1373. θάνατος παιάν: σωτὴρ καὶ ἰατρὸς προσέλθοι ὁ θάνατος. B.

2.775 1375. ἀμφιτόμου: τῆς ἀμφοτέρωθεν κοπτούσης. γρ. καὶ διστόμου. B.

2.776 1376. διαμοιρᾶσαι: διακόψαι ἐπιθυμῶ καὶ διατεμεῖν. λείπει δὲ τὸ ὥστε. B.

2.777 1378. ὦ πατρός: τινὲς τὸ ὦ σχετλιαστικὸν προφέρονται, στίζοντες εἰς αὐτὸ, ἵν’ ᾖ ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς ἐπ’ εὐθείας, καὶ συναπτόμενον τοῖς ἑξῆς. τινὲς εἰς τὸ ἀρά τελείαν παρέχουσιν, ἵν’ ᾖ καθ’ ἑαυτὸ τὸ κῶλον καὶ ὁ τέ σύνδεσμος ὁ ἑξῆς περιττός.

2.778 1380. προγεννητόρων: τὸ τῶν προγόνων κακὸν εἰς ἐμὲ ὁρίζεται καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν. Ἄλλως. ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος. ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν Παλλαντιδῶν φόνον. εἰς δὲ τὸ τί ποτε λείπει ἡ διά, ἵν’ ᾖ, διὰ τί ἐπ’ ἐμὲ τὸν οὐδὲν ὄντ’ ἐπαίτιον τῶν κακῶν. ὁ δὲ ποτέ παρέλκει.

2.779 1386. ἀναλγήτου: πολυαλγήτου. A.B.

2.780 1389. ὅτι μὴ ἠθέλησας χρᾶναι τοῦ πατρὸς τὴν εὐνήν. B.

2.781 1391. ὀδμῆς: εὐωδίας. B.

2.782 1397. κυναγός: Ἀττικῶς. B.

2.783 1401. φρονῶ δή: ἐννοῶ τὴν θεὰν, ἥτις μ’ ἀπώλεσεν. B.I.

2.784 1402. τιμῆς ἐμέμφθη: ὅτι ἐμὲ ἐτίμας, ἐμέμφθης παῤ αὐτῆς, ἢ ὅτι οὐδὲ ὅλως ἐτίμας αὐτήν. Ἄλλως. ἴσθι ὅτι ἐμίσησέ σε σωφρονοῦντα, διότι ἐμέμφθη ὑπὸ σοῦ, καὶ οὐκ ἠξιώθη τιμῆς. A.B.I. Ἄλλως. ἐμέμφθης, φησὶ, τιμῆς χάριν τῆς ἐμῆς, ἀπεχθὴς δέ σοι ἡ Ἀφροδίτη ἐγένετο. A.

2.785 1413. τί δ’ ἔκτανες: τί μέμφη τὰς κατάρας; ἐφόνευσας γὰρ ἄν με καὶ χωρὶς αὐτῶν· οὕτως ἦσθα ὠργισμένος. Ἄλλως. καὶ ἄνευ τῆς κατάρας ἀπώλεσας ἄν με ἐκ τῆς ὀργῆς τοῦ λογισμοῦ.

2.786 1414. δόξης γὰρ ἦμεν: τῆς ὀρθῆς δοκήσεως τοῦ δικαίου καὶ τῆς ἀληθείας ἠπατημένοι.

2.787 1415. φεῦ, εἴθ’ ἦν: εἴθε ἦν καταρᾶσθαι ἄνθρωπον θεῷ, ἵνα ἀμύνηται τὸν Ποσειδῶνα ὑπὸ καταρῶν τοῖς θεοῖς.

2.788 1417. ἄτιμοι: ἀτιμώρητοι. Fl. 2.

2.789 1420. ἐγὼ γάρ: ἐγὼ γὰρ ἐκ τῆς ἐμῆς χειρὸς ἐν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον, ὅστις ἂν τύχῃ φίλτατος αὐτῆς τῆς Ἀφροδίτης ἀπὸ τῶν ἀνθρώπων. εἰς τὸν Ἄδωνιν δὲ αἰνίττεται, ὥς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινές φασιν. λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις Ἀρτέμιδος ἀπώλετο ὁ Ἄδωνις, ἀλλ' ὑπ' Ἄρεως. ἄδηλον οὖν τίνα φησί.

2.790 1425. κόραι γάρ: ἐν Τροιζῆνι γὰρ ἠρίον Ἱππολύτου, ἐν ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι διὰ τοῦ μέλλοντος χρόνου ἀπολαύουσαι ἐν ἤθει.

2.791 1428. μουσοποιός: ὑμνητική. B.

2.792 1432. προσέλκυσαι: πρόσπτυξαι. B.

2.793 1437. οὐ θέμις: καὶ ἐν τῇ Ἀλκήστιδι ὁ Ἀπόλλων "ἐγὼ δὲ, μὴ μίασμά μ' ἐν δόμοις κίχῃ, λείπω μελάθρων τῶνδε φιλτάτην στέγην. B.I.

2.794 1441. μακράν: τὴν πολυχρόνιον καὶ παλαιὰν βουλομένης σου καὶ κελευούσης. B.

2.795 1445. κατόρθωσον: ὀρθὸν κατάκλινον, ὅπερ εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνησκόντων.

2.796 1448. χέρα: γρ. φρένα. B.

2.797 1462. κοινόν: τοῦτο ὁ χορὸς ἐπιλέγει, Ἱππολύτου ἀποθανόντος. 1. καὶ et ἠπατημένοι om. A., sic ib. γὰρ ἠρίον A. ἱερὸν B.I. habet gl. ἠπατημένοι. ib. ἐν add. A. 3. θεῷ] θεὸν A. 12. διὰ—ἤθει om. A. 4. ὑπὸ καταρῶν τοῖς θεοῖς om. A. ib. ἀπολαύουσαι B. Fl. 6. ἀπολαβοῦσαι 6. ἐγώ γὰρ ἐκ A. γὰρ om. B.I. Fl. 15. ἀπολαυούσας I. 7. φίλτατος A.B. Fl. 6. 15. φίλτατα 16. καὶ— Ἀπόλλων om. I. ib. Ἀλκήστιδι] V. 22. I. 8. δὲ om. A. 9. φασιν add. A. om. I. 17. μίασμά μ' ἐν δόμοις κίχῃ 10. ὁ add. A. ib. φιλτάτην στέγην] φιλτάτηι στέγηι ib. ὑπ] ἀπ' A. ib. Ἄρεως] ἄρεος A. 24. τοῦτο] τοῦτο δὲ A. verbis τοῦτο ib. τίνα] τί A. δὲ—ἀποθανόντος post ἀπροσδοκήτως positis. 11. Τροιζῆνι] τροιζηνία A. in quo lemma ἐν πόλει τροιζηνία. κοινὸν, φησὶ, τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως. δοκήτως.

2.798 1449. οὐ δῆτ': λέγω σε ἄναγνον δῆτα. Fl. 6.

2.799 1457. κεκαρτέρηται: ἀντὶ τοῦ παρέρχεται. B.

2.800 1464. πίτυλος: ὁρμὴ, φορὰ, πλήμμυρα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσι. αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν μᾶλλον ἐπικρατοῦσι. τὸ μᾶλλον γὰρ ἀντὶ τοῦ μάλιστα, συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ.

2.801 πίτυλος: πλῆθος. θόρυβος, χύσις. A.B. Fl. 6.

2.1 1. ΠΟΛΛΗ μὲν ἐν βροτοῖσι: μεγάλη, δυνατὴ, ἔνδοξος, θαυμαστή. Ὅμηρος "πολλὸς γάρ τις ἔκειτο παρῄορος." πάσαις ταῖς ἀπὸ Ἡλίου ἐγκότως διάκειται ἡ Ἀφροδίτη διὰ τὸν ἔλεγχον τῆς μοιχείας τοῦ Ἄρεος. ἡ διάνοια ἐμφαντικώτερον καὶ ῥητορικώτερον πέφρασται, ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον παραλαμβάνουσα.

2.2 2. οὐρανοῦ τ' ἔσω: ὅ ἐστι παρὰ θεοῖς καὶ ἐν τῷ οὐρανῷ. A.B.

2.3 3. ὅσοι] ἐκείνοις. B. rec.

2.5 5. τοὺς μὲν σέβοντας: τὸ ἑξῆς τῆς διανοίας· προαποδειχθέντος τοῦ μεγάλην μέ τινα καὶ ἐπιστήμονα εἶναι παρ' ἀνθρώποις, τοιαύτη τίς εἰμι τὴν φύσιν ὡς τοὺς μὲν σέβοντας τιμᾶν, τοὺς δὲ ἀποσειομένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν. ἀντὶ τοῦ πολλή τις οὖσα τοὺς μὲν τιμῶντας σέβω, τοὺς μὴ τιμῶντας σφάλλω. πρεσβεύω δὲ τὸ ὑπερτιμῶ. οὕτως Ἀττικοί· πρεσβεύειν γὰρ τὸ τιμᾶν.

2.6 6. σφάλλω: βλάπτω. A.B.I. ἐκ μεταφορᾶς τῶν ἐμποδιζομένων. 1. νεανίου A. M. νεανίσκου 1. 12. γινώσκεσθαι] γιγνώσκεσθαι M. 2. δεξάμενοι] δὲ οἱ M. ib. λέγῃ add. B M. 3. πόσης A.B.M. πάσης 1. 13. ἢ add. B.M. ib. καταγνώσεως] κατὰ γνώμης M. 14. οἰκοῦντας] κατοικοῦντας 1. i. e. καταγνώμης, quo voc. utitur 15. τὸ ἑξής—ἀνθρώποις om. M. Constantin. de admin. imperio in ib. προαποδειχθέντος] προαποδειχθείσης Banduri Imp. or. vol.1. p. 67. ἄξιος σης A. add.

Heathius. 16. μέ] μέν A. 4. ἀπὸ] ὑπὸ A. ib. ἐπιστήμονα] ἐπίσημον Heathius. ib. ἧττον] ἧσσον B.M. ib. εἶναι A.B. Fl. 6. 15., om. I. ib. πάλιν A.B.M. πάλαι 1. ib. παῤ A.B. παρὰ τοῖς I. 7. ἁμαρτάνοντες] ἁμαρτάνοντα M. 18. τὴν εἰς ἐμὲ εὐσέβειαν] με M. 8. τ᾽M. δὲ B.l. τ᾽Ἀτλαντικῶν ib. καταβάλλειν] διαβάλλειν A. om. A. 19. τοὺς μὲν—σφάλλ A. τοὺς μὲν ib. παρὰ A.B.M. περὶ I. τιμῶ. τοὺς δὲ σφάλλω B.M.I. ib. ὁ Ἄτλας] ὁ om. A.M. 20. Ἀττικοί] ἀττικῶς M. ἀττικόν 10. ἀνατολικός M. ἀνατολικόν 1. A., omisso γὰρ post πρεσβεύειν. 11. τερμόνων] ἄλλως M. In eodem gl. τιμῶ, σέβω. In M. ib. τὰ ἔσχατα M. τὸ ἔσχατον B.I. πρεσβεύειν τὸ ὑπερτιμᾶν. B. rec. βλάπτω, καταβάλλω. M. ἀποβάλλω. M. Fl. 15. εἰς ἡμᾶς: ἀντὶ τοῦ καθ᾽ ἡμῶν. A.M.I.

2.7 7. ἔνεστι γὰρ δή: ἔνεστι καὶ ἐν τοῖς θεοῖς τὸ χαίρειν ταῖς τιμαῖς, ὡς ἐπὶ τῶν ἀνθρώπων. καὶ διὰ τούτου καὶ ἔδειξεν ὅτι προπμολόγηται τοῦτο παρὰ πᾶσιν ἀνθρώποις.

2.9 9. δείξω δὲ μύθων: ἔξεστι μὲν τοῦτο καὶ ἐπὶ τῶν καθόλου προειρημένων νοημάτων λαβεῖν, ἐξαιρέτως δὲ ἐπὶ τοῦ τοὺς μὲν σέβοντας τιμῶ, τοὺς δὲ βλασφημοῦντάς με σφάλλω.

2.10 10. Ἀμαζόνος τόκος: ὅτε γὰρ μετὰ Ἡρακλέους ὁ Θησεὺς ταῖς Ἀμαζόσιν ἐπολέμησε διὰ τὸν ζωκτῆρα, καὶ Ἀντιόπην ἔλαβεν αἰχμάλωτον καὶ ἤγαγεν εἰς τὴν Ἑλλάδα, καὶ συμμιγεὶς αὐτῇ ἐποίησεν υἱὸν ὁμώνυμον τῇ Ἱππολύτῃ.

2.11 11. ἁγνοῦ Πιτθέως: ἁγνὸν τὸν Πιτθέα, ὡς καὶ ἐν Μηδείᾳ “παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.” παρὰ Πιτθεῖ τῷ πατρὶ τῆς 2. ἀντὶ τοῦ om. I. jecturs est, nisi quod inverso potius 3. καὶ A. δὲ B.M.I. ordine Ἀντιόπην, ὡς δὲ ἔνιοι Ἱππσλύτην, 4. ὡς A.M. ὥσπερ καὶ B.I. πολύτην, ἔλαβεν scribere debebat. ib. τούτου Matthiae. τοῦτο A.B. Nam pauci tantum Hippolytam, τοῦ M.I. plerique Antiopam Hippolyti matrem ib. καὶ ἔοειξεν ὅτι] κἂν ἔδχ ὅτι, reliquis fuisse perhibuerunt: de quo liquis omissis, M. Valckenarius “Latinae tragoediae ib. προωμολόγηται A.B. ὡμολόγηται scriptori (Senecae) mater Hippolyti, 1. de nomine nusquam Euripidi 5. τοῦτο παρὰ add. A. et qui τοῦτο memorata, nec Diodoro 4, 62. post ὅτι ponit B. semper Antiope, sicut plerisque, ib. ἀνθρώποις om. A. dicitur; semper etiam Plutarcho, 6. μὲν Heathius pro μοι. unum tantum Clidemum memoranti ib. τοῦτο καὶ] καὶ τοῦτο A. in Vita Thesei c. 27. qui 7. νοημάτων] νοήματα M. Hippolyten dixerit, οὐκ Ἀντιόπην. ib. τοῦ] τούτου M. Clidemo pungi poterit alius rerum 8. σφάλλω] βάλλω κάτω M. Atticarum scriptor Ister apud 12. ἀντιόπην ἔλαβεν (ἀνέλαβεν A.) Athen. 13. p. 557 A.” Hippolyten A.M. Fl. 6. ἤνυσαν (sic cum spiritu ten dixit scriptor Argumenti hujus aspero) I. Delendum autem καὶ tragoediae p. 70, 4. ante Ἀντιόπην. Ἱππολύτην, ὡς δὲ ἔνιοι 14. τῇ Ἱππολότῃ] τῶ ἱππολύτω A. Ἀντιόπην, ἔλαβεν Matthiae, quia e 16. τὸν add. B.M. verbis proximis appareat non Antiopam, ib. Μηδείᾳ (v. 684.) A. M. Μηδείᾳ sed Hippolytam pro matre δείᾳ φησὶ I. Hippolyti ab scholiasta habitam 17. πατρὶ A.M. περὶ (i. e. πρὶ) I. esse. Quae satis probabilis con- Αἴθρας, τῆς μητρὸς Θησέως, ἐπαιδεύετο ὁ Ἱππόλυτος. ἦν δὲ ὁ Πιτθεὺς σοφὸς καὶ χρησμολόγος καὶ ἱερὸς θεοῖς, ὃς καὶ ἔλυσε τὸν χρεσμὸν τῷ Αἰγεῖ “μὴ λύσῃς ἀσκόν” καὶ τὴν θυγατέρα ἔδωκεν, εἰδὼς τῇ σοφίᾳ οἷος ἔσται ὁ τεχθησόμενος. παῤ αὐτῷ δὲ ὁ Θησεὺς ἐπαιδεύετο, ὥς φησι Καλλίμαχος.

2.13 13. πεφυκέναι: ὑπάρχειν.

2.14 14. ἀναίνεται δὲ λέκτρα: καὶ τί, φασὶν, ἐλύπει αὐτὴν τὸ τῆς φιλοσοφίας; καὶ λεκτέον ὅτι ὡς αὐτὴν ἀτιμάζων ἐδόκει καὶ τοῦτο ποιεῖν, ὡς καὶ αὐτῇ μὴ ποιῶν τὰ τερπνὰ, ἀγνοῶν ὅτι καὶ σωφροσύνης ἔρωτας αὐτὴ ἀποστέλλει, ὡς καὶ ἐν διηγήσει λέγει. Ἄλλως. καὶ τί, φασὶν, ἐλύπει αὐτὴν τοῦτο; ἀλλ᾽ οὕτως αὐτὸ εἶπεν, ὡς ἐκείνου πρὸς κνησμονὴν αὐτῆς τοῦτο ποιοῦντος.

2.17 17. χλωρὰν δ᾽ ἀν᾽ὕλην: κατὰ τὴν χλωρὴν ὕλην. A.

2.18 18. ἐξαίρει: ἐκ μέσου αἴρει, ἀφανίζει. A.B.I. ἐξαίρει: διώκει. B. ἀντὶ τοῦ θηρᾶται, ἐκβάλλει. Fl. 2. χθονός: ἀπό. B. rec.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.19 19. προσπεσὼν ὁμιλίας: ἐντυχών. A.B.I. εὐτυχήσας τῆς ἐπιμιξίας τῆς δαίμονος πλέον ἢ ὡς δεῖ ἀξιοῦσθαι ἄνθρωπον φιλίας θεοῦ. οἷον μεῖζόν τι τῆς ἀνθρωπίνης ὁμιλίας ἐντυχὼν τῆς Ἀρτέμιδος.

2.20 20. τούτοισι: ταῖς τιμαῖς τῆς Ἀρτέμιδος. A.B.M. ἕνεκεν τούτων αὐτῷ οὐ φθονῶ. B. τί γάρ με δεῖ: οὐ δεῖ γάρ με φθονεῖν. A.B.I.

2.23 23. πάλαι προκόψασα: ἀρχαϊσμός ἐστι τοῦτο, οὐ σολοικισμός. B. rec. I. τὰ πολλὰ δὲ πάλαι προκόψασ̓ οὐ πόνου: τοῦτο ἐσολοίκισεν. οὕτως γὰρ ἔδει εἰπεῖν, τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐ πόνου πολλοῦ χρείαν ἔχω. συνεχῶς δὲ τούτῳ τῷ σχήματι χρῆται ὁ Εὐριπίδης. ἦν δὲ ὥσπερ ὑγιέστερον οὕτως εἰπεῖν, τὰ πολλὰ δὲ πάλαι προκεκοφυίης ἔτι οὐ πολλοῦ με πόνου δεῖ· ἢ οὕτως, τὰ πολλὰ δὲ ἤδη προκόψασα οὐκέτι πολὺν ἔχω πόνον. προκόψασα δὲ ἀντὶ τοῦ προκατασκευάσασα, ἐπαυξήσασα τὴν ἐπίνοιαν· ὥσπερ ἂν εἴ τις εἴποι προοικονομήσασα ὀλίγου χρείαν ἔχω πόνου. γέγονε δὲ ὁ σολοικισμὸς πρὸς τὸ ἀκατάλληλον τῆς πτώσεως. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· προανυσάσῃ μοι τὰ πρὸς τὸν ἔρωτα τοιῷδε τρόπῳ ὀλίγα λείπεται πρὸς τὴν τιμωρίαν.

2.24 24. ἐλθόντα γάρ νιν: ἐν τῇ Ἀττικῇ ἔτι οὖσα ἡ Φαίδρα, πρὶν μετοικῆσαι εἰς Τροιζῆνα, ἰδοῦσα τὸν Ἱππόλυτον ἐξελθόντα ἐπὶ μύησιν τῶν Ἐλευσινίων ἤρα. καὶ ἐκ τῆς συνεχοῦς θέας δυνατὸν νοῆσαι τὸν ἔρωτα ὅτι πολὺς ἦν, ὡς ἐξ αἰφνιδίου θέας τηλικοῦτον ἰσχῦσαι.

2.25 25. σεμνῶν ἐς ὄψιν: μεγάλων, σεπτῶν. ἔοικε δὲ λέγειν τὴν Ἐλευσινίων. ὄψιν δὲ λέγει τὴν θέαν, τέλη δὲ τὴν τελετήν.

2.26 26. Πανδίονος γῆν: εἰς τὴν Ἀττικήν. A.B.M.

2.27 27. κατέσχετο: κατεσχέθη ὑπὸ τοῦ ἔρωτος. A.B.M.

2.29 29. καὶ πρὶν μὲν ἐλθεῖν: τὸ ἐξαίρετον τοῦ ἔρωτος δηλοῖ, ὅτι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς Τροιζῆνα οὕτως ἤρα ὡς καὶ Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἐν τῇ Ἀττικῇ, ἐξιλεουμένη τὸν Ἔρωτα, καὶ μὴ παρόντος ἐρῶσα τοῦ Ἱππολύτου ἐπ̓ αὐτῷ ἱδρύσασθαι ἱερόν λέγει.

2.30 30. πέτραν παῤ αὐτήν: ἐπὶ πέτρας τινὸς ἐν τῇ Ἀττικῇ, ἀφ̓ ἧς ἦν ἀποβλέπεσθαι τὴν Τροιζῆνα, Ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν Φαίδραν φασίν. ἐκάλεσε δὲ Ἀφροδίτην ἐφ̓Ἱππολύτῳ, ἣν καὶ Ἱππολυτίαν καλοῦσι. κατόψιον οὖν ἀντὶ τοῦ κατὰ τὸ ἀντικείμενον. ὡς ἐξ A.M. ὡς πολὺς ἦν ὅτι καὶ ἐξ 13. ὑφέστηκε] τὴν δύναμιν καὶ addit B.I. A. fuitque fortasse in M. in quo p.77.l.22. ἰσχῦσαι A.M. ἴσχυσεB.I. plura hic obliterata. 2. Ἐλευσινίων] ἐλευσινιαίων A.B. 14. τὸν Ἄττικὸν Πανδίονα αὐτὴν] forma inaudita. ἐλευσινιακῶν M. τὴν Ἀττικὴν Πανδίονος γῆν Heathius. ib. τελετήν] τελευτήν A. Sed haec quoque non possunt intelligi. 9. ἐπ̓ αὐτῷ A.M. ὥστε καὶ ἐπ̓ αὐτῷ B.I. 15. ὡς] καὶ ὡς A. ib. ἱερὸν M. τὸ ἱερὸν A.B.I. 16. πέτραν (πέτρην A.M.) παῤ αὐτήν ib. λέγει addidi ex A. In M. est — Ἱππολυτίαν καλοῦσι hoc loco ἔλεγεν. Post ἱερὸν in B.I. leguntur posui cum A.M. In BI., omisso verba ἐπὶ πέτρας τινός etc., quae ex lemmate, leguntur in scholio v. 29. A.M. suo loco posuimus ad v. 30. post ἱδρύσασθαι τὸ ἱερόν. 10. Lemma Τροιζηνίαν addidi ex A. ib. τινὸς A.B.M. Fl. 6. 15. τὸν ib. ὅτι ἡ Τροιζὴν] ὅτι δὲ ἡ τροίζηνα ἔρωτα I. M. ut supra in eodem τροίζηναν pro 17. ἦν addidit Valcken. p. 165. Τροιζῆβνα. 19. Ἱππολυτίαν] Ἱππολυτείαν Mattb. 11. Γλαυκωπίῳ Barnes. γλαυκωπείῳ ex schol. Hom. Od. 11, 320. ubi A.B.M. γλαυκωπεῖ I. ἱερὸν τὸ νῦν Ἱππολύτειον καλούμενον. 12. Σούνιον Heathius. θύνιον B.I. ἱππολυτίνην Fl. 6. θύνειον M. θήνιον A. Sed verba τὸ Σούνιον ib. κατόψιον οὖν ἀντὶ A.B. παλλάδος non cohaerent cum praecedentibus, κατόψιον: ἀντὶ I. ἄλλως. ἀντὶ tibus, ut aliquid excidisse videatur. M. τοῦτο τὸ κατόψιον πιθανώτερον ἐξηγούμενοι ἤκουσαν τὸ ὄρος τὸ ἀντικείμενον τῷ Γλαυκωπίῳ τῆς γῆς τῆσδε, ὅ ἐστι Τροιζῆνος. Ἄλλως. πέτραν Παλλάδος φησὶ τὸ Γλαυκώπιον ὄρος. κατόψιον δὲ ἀντὶ τοῦ ἐπὶ ταύτης τῆς γῆς τῆς Ἀττικῆς. ἢ τὸ κατόψιον ἀντὶ τοῦ ἐξ ἐναντίας. Ἄλλως. κατόψιον τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑψηλὸν, παρόσον τὰ ὑψηλὰ κατοπτεύουσι πάντα τὰ ὑποκείμενα. πέτραν δὲ Παλλάδος τὸ Γλαυκώπιον ὄρος.

2.31 31. ἐγκαθίσατο: ἔκτισεν. B.I. ἐνιδρύσατο. M. Fl. 15.

2.32 32. ἐρῶὀ ἔρωτα: ἔρως τοῦ Ἱππολύτου ἐπ̓ αὐτῷ. A.B. ἔκδηλον: μὴ παρόντα. B. M. ἄδηλον. B.

2.33 33. τὸ λοιπόν: εἰς τὸ μετὰ ταῦτα. ἱδρῦσθαι θεάν: ἱδρύσασθαι ἱερὸν ἔλεγε. πέτραν δὲ Παλλάδος φησὶ τὸ ἐν τῇ Ἀττικῇ Γλαυκώπιον, οὗ Καλλίμαχος ἐν Ἑκάλῃ μέμνηται. περὶ δὲ τὸ ἱερὸν Γλαυκώπιον καλεῖσθαι ἀπὸ τοῦ ἐπωνύμου. A.B.M. Fl. 15. ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο Ἀφροδίτης ναὸν ἐπὶ κακῷ Ἱππολύτου. I.

2.34 34. Κεκροπίαν: τὴν Ἀττικήν. B.I. Κεκροπίδα: τὴν Ἀττικὴν, ἤγουν τὰς Ἀθήνας. A.

2.35 35. μίασμα φεύγων: τοὺς Παλλαντίδας ὑπὸ Θησέως ἀνῃρῆσθαι 1. τοῦτο τὸ M. τοῦτο δὲ τὸ B.I. nisi quo priora Ἄλλως—ὑποκείμενα quae om. A. qui proximum κατόψιον etiam in M. reperiuntur. ut lemma habet. 8. τὸν (τὸ ?) κατοπτευτήριον scripsi 2. 14. 15. Γλαυκωπίῳ—Γλαυκώπιον] pro τὸν κατοπτεύτριον. De quo dixi Γλαυκωπείῳ et Γλαυκώπειον libri. Oe ad schol. Phoen. 233. Glaucopio dixit Naekius Oe Callimachi 10. ἐρῶὀ—ἐπ̓ αὐτῷ] ἱππολότῳ δ’ macti Hecate c. 6. p. 51-60. ἔπι: ἐπ’ αὐτῷ τῷ ἱππολύτῳ I. Omittit 2. Τροιζῆνος] τροίζηνος B. M. Sequentia haec M. Ἄλλως (sic A.: in M. est ib. ἔκδηλον] Sic M. in textu. In numerus acholii γ́) πέτραν Παλλάδος B. ἔκδημον, licet glossema ἄδηλον ad (πέραν παλλάδα A.) φησὶ τὸ Γλαυκώπειον scripturam corruptam ἔκδηλον spectet. ὄρος. κατόψιον δὲ ἀντὶ τοῦ (ἀντὶ τοῦ om. A.) —Ἀττικῆς. ἢ τὸ (τό δε A.) 13. ἱδρύσασθαι ἱερὸν ἔλεγε addidi κατόψιον (τῆς Ἀ. et τὸ κατόψιον om. ex B.M. Fl. 15.) ἀντὶ τοῦ (κατόψιον τουτέστι ib. Παλλάδος φησὶ] φησὶ om. B. A.) ἐξ ἐναντίας om. B.I. Tum in M. 14. οὗ Fl. 15. οὕτως A.B.M. sequuntur superiora illa, κατόψιον: ib. ἐν] ὡς ἐν A. τοῦτο τὸ κατόψιον — ὅ ἐστι τροίζηνος ib. Ἑκάλῃ Matth. pro Ἑκάβῃ. praefixo numero δ́. Illa vero Ἄλλως. In M. ἑκ fuisse videtur. κατόψιον—τὸ Γλαυκώπιον (sic hoc loco 15. περὶ δὲ] δὲ om. Fl. 15. 1. —ειον B.) leguntur in solis B.I., Φιλόχορος ἱστορεῖ οὕτω· Πάλλαντος ἐπιθέσθαι ταῖς Ἀθήναις διανοουμένου καὶ τὴν Σφηττίαν ὁδὸν προφανῶς διαπορευομένου ἐπὶ τὸ ἄστυ μετὰ τῆς δυνάμεως αὐτοῦ, οἱ τούτου παῖδες κατὰ βούλησιν τοῦ πατρὸς Γαργηττοῖ ἐγκαθίζουσι μετὰ τῶν ἡλικιωτῶν, ἵν̓, ὅταν ἐπεξέλθωσι τοῖς Ἀθηναίοις καὶ ὁ Πάλλας συμβάλῃ, ἐξ ἐφόδου προσπεσόντες λάβωσι τὴν πόλιν. ἀνὴρ δέ τις, ὃς ἐκηρύκευε τῷ Πάλλαντι, ἀπαγγέλλει τῷ Θησεῖ τὸ γενόμενον. ὁ δὲ προσπεσὼν εὐθὺς μετὰ τῶν ἡλικιωτῶν αὐτοὺς ἀναιρεῖ. ἡ δὲ ἱστορία οὕτως ἔχει. Νῖσος καὶ Πάλλας καὶ Αἰγεὺς τρεῖς ἀδελφοὶ ἐκ Πανδίονος γεγόνασι, καὶ ὁ μὲν Νῖσος τὰ Μέγαρα ᾤκει, Αἰγεὺς δὲ καὶ Πάλλας δήμων τινῶν ἦρχον, τῆς Ἀττικῆς οὔπω συνῳκισμένης εἰς ἕν. λόγος οὖν τὸν Θησέα, ἀνεψιὸν ὄντα τῶν Παλλαντιδῶν παίδων, ἕνα αὐτὸν ἀντιποιούμενον τῆς βασιλείας ἀνελεῖν. οἱ δὲ οὕτως ἱστόρησαν. φασὶ γὰρ τοὺς Παλλαντίδας παῖδας ἀνελεῖν τὸν Θησέα λοχῶντας, ἵνα εἰσπέσωσι τῇ πόλει, ὅταν ὁ πατὴρ αὐτῶν Πάλλας ἐγγὺς γένηται. ὁ δὲ Θησεῖ μηνύσας τὴν ἔφοδον αὐτῶν ἀνὴρ ἦν, ὃς ἐκηρύκευε τῷ Πάλλαντι. ὡς οὖν βοηθῶν τῷ Πάλλαντι τοὺς παῖδας αὐτοῦ καταλύοντας ἀνεῖλεν ὁ Θησεύς. ἐπειδὴ δὲ νόμος ἦν τοὺς ἐμφύλιον καὶ συγγενικὸν φόνον ποιήσαντας ἑκουσίᾳ φυγῇ ζημιοῦσθαι τὸ μίασμα, ἔξορον αὐτὸν 1. οὕτω om. A. De M. non constat 9. Νῖσος] νίσος libri hic et infra. quum plura in hoc scholio ib. Πάλλας] πάλας A. obliterata sint. ib. γεγόνασι (ἐγεγόνασι, quasi ἐγεγόνεσαν ib. Πάλλαντος] πάλλοντα A. voluerit, A.) addidi ex A.B. ib. ἐκιθέσθαι Fl. 6. 15. ἐπιθεῖναι Fl. 6. 15. est in A.B.I. fuitque haud dubie 10. Νῖσος] νεῖσος M. 16. ὁ δὲ—ἀνεῖλεν ὁ Θησεύς] ὁ δὲ 2. Σφηττίαν in A. a m. sec. θησεὺς ἀνεῖλεν αὐτοὺς τὴν ἔφυδον αὐτῶν ib. διαπορευομένου] πορευομένου M. νοήσας M. 4. Γαργηττοῖ vel Γαργηττὸν (Γαργηττῷ ib. Θησεῖ] θησεὺς A. Barnes.) Matthiae collato ib. αὐτῶν] αὐτὸν A. Plut. V. Thesei c. 13.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρβίτου ib. ἐκηρύκευε τῷ Πάλλαντι A. πάλλαντι A.I. βαρβίττον B. Fl. 6. 15. In M. ἐκηρύκευε (ἐκηρύκευσε I.) B.I. 17. βοηθῶν A.B. Fl. 6. 15. βοὴν I. legi non potest. ib. ἡλικιωτῶν] ἡλικιατῶν A. 18. ἐπειδὴ M. Fl. 6. 15. ἐπεὶ A. 5. συμβάλῃ] συμβάλλῃ M. B.I. 6. ἐκηρύκευε A. ἐκηρύκευσε ceteri. ib. δὲ om. A. 7. Πάλλαντι et ἀπαγγέλλει simplici ib. τοῦς—ποιήσαντας] τοῖς—ποιήσασιν λ in A. A. ib. γενόμενον] γινόμενον I. 19. αὐτὸν Matth. pro αὐτόν. 8. εὐθὺς om. I. ἐποίησε καὶ τὴν γυναῖκα εἰς Τροιζῆνα πλησιάζουσαν ὡς τους συγγενεῖς μετήνεγκεν εἰς ἑαυτὸν ἐκ ταύτης, καὶ πάσης τῆς Πελοποννήσου ἀφώρισεν. ἔθος γὰρ τοῖς ἐφ᾽αἵματι φεύγουσιν ἐνιαυτὸν ποιεῖν ἔξωθεν τῆς πατρίδος.

2.36 36. καὶ τήνδε σὺν δάμαρτι: εἰς τὴν Ἀττικὴν ἦλθε πλεύσας· οἱ γὰρ ἐφ᾽αἵματι φεύγοντες ἐνιαυτὸν ποιοῦσιν ἔξωθεν τῆς πατρίδος.

2.37 37. αἰνέσας: εὐαρεστήσας καὶ συγκατατιθέμενος. A.B.I.

2.41 41. δεῖ πεσεῖν: ἀνενέργητον γενέσθαι. B. rec. I.

2.42 42. πρᾶγμα: ἀντὶ τοῦ τὸν ἔρωτα. B.I. κἀκφανήσεται: τὸ πρᾶγμα δηλονότι. B. rec. Fl.

2.45 45. ἄναξ Ποσειδῶν: Αἴθρᾳ γὰρ συνελθὼν Ποσειδῶν ἐποίησε τὸν Θησέα. τοὺς δὲ εἰς ἀπαλλαγὴν τῶν κακῶν γενομένους ἀνθρώπους θεῶν παῖδας ὠνόμαζον, ὧν καὶ ὁ Θησεὺς εἷς ἐστίν. A.B.M. Fl. 6.

2.46 46. μάταιον: ἀντιστροφή. B.

2.47 47. ἡ δ̓ εὐκλεὴς μέν: ἐγῶ μὲν φιλῶ αὐτήν. B. Μίνωος γάρ ἐστι θυγάτηρ, Θησέως δὲ γυνή. ἢ ὅτι ἐρῶσα καρτερεῖ. διὰ τὸ Θησέως μὲν εἶναι γυνὴ, Μίνωος δὲ θυγάτηρ, εὐκλεής ἐστι. τὸ δὲ ἀπόλλυται ἀντὶ τοῦ ἀπολεῖται, καίκερ οὖσα εὐκλεής. τὸ δὲ αἴτιον, ὅτι πάσαις ταῖς ἀφ᾽Ἡλίου γενομέναις ἐμήνισεν Ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτῆς ὑφ᾽Ἡλίου μοιχείαν. τὴν γοῦν Πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ Μίνωος ἐρασθῆναί φασιν, ὡς ἱστορεῖ Σωσικράτης. εἰκότως δὲ ἡ Ἀφροδίτη τὴν παῤ ἀμφοῖν εἰσπράττεται τιμωρίαν, παρὰ μὲν Φαίδρας, ὅτι ἀφ᾽Ἡλίου, παῤ Ἱππολύτου δὲ, ὅτι τὰ περὶ αὐτὴν οὐκ εἶχεν ἐν τιμῇ ἀπαξιῶν τὴν πρὸς τὰς γυναῖκας ὁμιλίαν.

2.48 48. τὸ γὰρ τῆσδ̓ οὐ προτιμήσω: οὐ τὸ ταύτης κακὸν ἔμπροσθεν θήσομαι, τὸ μὴ τιμωρήσασθαι τοὺς ἐχθροὺς, ἀντὶ τοῦ οὐ φροντίσασα τῆς ἀπωλείας αὐτῆς τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ δίκην ὕστερον θήσομαι. Ἄλλως. οὐκ ἂν προτιμήσαιμι τὴν ταύτης ἀπώλειαν, καὶ τὸ μὴ τιμωρήσασθαι τοὺς ἐμοὺς ἐχθροὺς ἐν ὑστέρῳ θήσομαι.

2.53 53. βήσομαι δόμων: γράφεται τόπων. B.I.

2.54 54. ὀπισθόπους: ὁ ἑπόμενος χορός.

2.55 55. κῶμος: χορὸς ἢ ὕμνος. B.M.I.

2.56 56. οὐ γὰρ οἶδ̓ ἀνεῳγμένας πύλας: οὐκ ἐπίσταται, φησὶν, ὅτι ἕτοιμος αὐτῷ ὁ θάνατός ἐστιν.

2.58 58. ἕπεσθ̓ ᾄδοντες: τὸ ἄγαλμα τῆς Ἀρτέμιδος οἱ μὲν δικτάμνῳ, οἱ δὲ σελίνῳ, οἱ δὲ λωτῷ στέφεσθαί φασι. A.B.M.I. δικταμνόν φασιν ἐν Κρήτῃ μόνῃ· τοῦτο δὲ καὶ ὠκυτόκιον εἶναι, διὸ καὶ ταῖς δυστοκούσαις δίδοσθαι χάριν τοῦ ταχέως τίκτειν. B.I.

2.60 60. ᾇ μελόμεσθα: ᾗ μέλομεν κυνηγετικὴν ἀσκοῦντες. A.B.M.

2.66 66. καλλίστα: καλλίστη οὖσα ὑπὲρ πάσας τὰς παρθένους. B.

2.68 68. εὐπατέρειαν: τὴν καλλίστην τοῦ πατρὸς Διὸς αὐλήν.

2.69 69. οἶκον: λέγω. B. rec.

2.73a 73. σοὶ τόνδε πλεκτόν: πρὸς τόν χειροποίητον στέφανον, ὃν ἔφερε τῷ ξοάνῳ. τινὲς μέντοι καὶ τοῦτο ἐπὶ τῆς αὐτῆς ἀλληγορίας ἀκούουσι, λέγοντες τὸν ὕμνον κόσμον εἰρῆσθαι αὐτῆς. τοῦτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν λέγοι τὸν ὕμνον δεικτικῶς πρὸς τὸ εἰρημένον “πότνια.’ Ἄλλως. διαβεβόηται τοῦτο τὸ ζήτημα. καὶ οἱ μὲν ὑπέλαβον τὸν Ἱππόλυτον στέφειν τὴν Ἄρτεμιν ἀνθίνῳ στεφάνῳ· ὁ δὲ Φιλόχορος τὴν ἐν Ἄγραις Ἄρτεμιν τῷ μὲν λόγῳ στέφεσθαί φησιν, ἐφ’ἑαυτοῦ δὲ τὸν Ἱππόλυτον ταῦτα λέγειν, ὅτι ἐμαυτὸν σοὶ ἀνατίθημι, ὦ θεὰ, στέφανον, τουτέστι κόσμον ἀνθηρότατον· κόσμον γὰρ εἶναι τῇ παρθένῳ τὸ μετὰ τοῦ σωφρονεστάτου τῶν νέων διημερεύειν. ἄλλοι δὲ μηδὲν αἰνίττεσθαι τὸν ποιητήν 1. ἕκεσθ̓] ἕπεσθαι M. κόμης, in I. χρυσέαν. ib. Ἄλλως om. A. ib. πρὸς τὸν M. τοῦτο πάλιν πρὸς ib. Ἄλλως. ὁ]. ἢ ὁ M. τὸν A.B.I. 4. εἰσὶ τινὲς M. τινὲς εἰσὶ ceteri. 11. τῆς αὐτῆς (ἀυ A.) ἀλληγορίας ib. ὡς εἴρηται om. M. A. B.I. τὴν ἀλληγορίαν τῆς αὐτῆς M. 5. ἐστιν addidi ex A. Obliteratum 12. αὐτῆς] αὐτ A. αὐτῶν B.M.I. in M. ib. τοῦτον ἂν—κότνια om. I. 6. μέλομεν] μέλλομεν A.B. ib. ἂν λέγοι A. οὖν λέγοις B.I. ib. κυνηγετικὸν βίον] κυνηγε (cum 13. Ἄλλως addidi ex A.M. compendio τικὸν potius significante 16. τῷ μὲν λόγῳ] Valck. p. 170. quam τικὴν) et omisso βίον A.M. corrigendum censet τῷ μὲν λωτῶ στ. 7. καλλίστα] Hoc vocabulum est minus recte. Sensus est: ita loqui in scholio quod M. ante scholion Hippolytum, quasi revera cosuperius (ab verbis ὁ ἱππόλυτος incipiens) rona redimiret Dianae simulacrum, habet, καλλίστα τινὰ τῶν se autem intelligere. MATTH. παλλαντίδων παίδων εὑρει (sic, ut videtur) Verba τῷ μὲν λόγῳ om. A. in lacuna. λέγει :— 8. Διὸς om. M. ib. ἐφ’Matth. pro ἀφ̓. 10. πρὸς τὸν—πότνια] Hoc scholion ib. δὲ om. M. A.M. hic ponunt: in B.I. legitur 17. τουτέστι] δὲ τουτέστιν M. ad v. 82. in B. cum lemmate 19. ἄλλοι] ἄλλως praefixum in φασι καὶ μηδὲν ἀλληγορεῖν, ἀλλὰ κυρίως λέγειν, καὶ τῷ ὄντι στέφανον φέρειν τὸν Ἱππόλυτον. τοῦτον δὲ ἐκ τοιούτου λειμῶνος, καθ̓ ὃν οὐκ ἔστιν ἡμῖν ὅσιον οὐδὲ δρέπεσθαι τῶν ἀνθέων· τὸ γὰρ “οὐδ̓ ἦλθέ πω σίδηρος” εἰς τοῦτο καταστρέφει, ὅτι οὐδὲ δρέπεται ὑπό τινος, οὐδὲ εἴργασται. ἄλλοι δέ φασι τὸν Εὐριπίδην τροπικώτερον τὸν ἐπὶ τῇ Ἀρτέμιδι ὕμνον στέφανον λέγειν. καὶ γὰρ δὴ παράλογον εἶναι καὶ πολλὴν ἀτοπίαν ἔχον, καὶ δοκεῖν ἄνθιμον λειμῶνα εἶναι, ὅθεν ἐδρέφθη τὰ ἄνθη, καὶ τοιοῦτον, εἰς ὃν οἱ εἰσιόντες ἐξετάζονται πότερον διδακτὴν ἔχουσι τὴν σωφροσύνην ἢ ἐκ φύσεως, καὶ κατάρδεσθαι αὐτόν. Φιλόχορος δέ φησι τῷ μὲν ξοάνῳ πλεκτὸν στέφανον προσφέρειν, τῇ δὲ θεῷ τὸν ὕμνον. ἐξ ἀκηράτου δὲ, τῆς ἀδόλου καὶ ἀφθάρτου διανοίας. Ἄλλως. ἐπιεικῶς οἱ ποιηταὶ τὰς μὲν ἰδίας φύσεις λειμῶσιν, ἢ ποταμοῖς, ἢ μελίσσαις εἰκάζουσι, τὴν δὲ ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστῶντες, διὰ δὲ τῶν ποταμῶν τὴν πληθὺν καὶ τὴν εἰς τὸ ποιεῖν ὁρμὴν, διὰ δὲ τῶν μελισσῶν τὸ μελιχρὸν, διὰ δὲ τῶν στεφάνων τὸν κόσμον τῶν ὑμνουμένων. ταῦτα δὴ πάντα συνελὼν ὁ ποιητὴς ἐφαίδρυνε τῆς ἀλληγορίας τὸν τρόπον. τὸ δὲ “ἐξ ἀκηράτου λειμῶνος,” ἐπειδὴ δεῖ πάντως τὸν μετιόντα μουσικὴν καθαράν τε καὶ ἀκήρατον ἔχειν τὴν ψυχὴν πάντοτε καὶ ἄχραντον ἀπὸ κακοῦ, καὶ μάλιστα τῆς αἰδοῦς μεμοιραμένην. διὰ γάρ τοι τὸ αἰδέσιμον καὶ παρθένους ὑποτίθενται τὰς Μούσας, γονιμωτάτας οὔσας.

2.73b 73. ἐξ ἀκηράτου λειμῶνος: ἐκ καθαρᾶς καρδίας. B. Fl. 15. καρδίας. M.

2.75 75. ἔνθ̓ οὔτε: ἄμουσοι γὰρ καὶ αἰσχροπρεπεῖς οἱ ποιμένες. A. B.M. Fl. 15 ποιμήν: τὸ λογιστικὸν. B. φέρβειν βοτά: τρέφειν τὰ ποίμνια. B.M. Fl. 15.

2.76 76. ἀκήρατον: παραμόνιμον. A.B.M.

2.77 77. μέλισσα: ψυχή. M. καὶ ψυχὴ ἀθάνατος καὶ ἀεὶ θάλλουσα· αἱ γὰρ ἀκήρατοι ψυχαὶ ἀνθοῦσιν ἀεί. A. ἡ ἁγνότης, καθαρότης, ψυχή. B. ἠρινόν: τὸν καθαρόν. B.

2.78 78. αἰδὼς δὲ ποταμίαισι: ἡ αἰδὼς, φησὶ, τοῦτον τὸν λειμῶνα γεωργεῖ, καὶ αὐτὸν τοῖς ὕδασι τοῖς ποταμίοις κηπεύει καὶ ποτίζει καὶ γεωργεῖ. τοῦτο δὲ λέγει, ἐπεὶ πλεῖστον μέρος τῆς σωφροσύνης ἡ αἰδὼς ἔλαχε, καὶ τοῖς ἀγαθοῖς ἀνδράσι καὶ σοφοῖς ἔνεστι τὸ αἰδημονικόν. ὅσοις οὖν μηδὲν διδακτὸν καὶ ἐκ βίας φύσεως ἔγνωσται, ἀλλὰ φύσει τὴν σωφροσύνην ἐγνώκασι,

τούτοις ἐκ τούτου τοῦ λειμῶνος μόνοις δρέπεσθαι καὶ καρποῦσθαι δέδοται τοιαύτης ψυχῆς καὶ σοφίας ἀπολαύειν. Ἄλλως. ταῦτα οὐκ ἔστιν ἐπινοῆσαι, εἰ κυρίως τις βούλεται ἐπὶ τῶν κηπευμάτων ἐκδέχεσθαι τὸν λόγον. ἀλληγορεῖται οὖν τὰ προκείμενα. οἱ γὰρ ποιηταὶ ἐπιεικῶς τὰς ἰδίας φύσεις μελίσσαις καὶ ποταμοῖς καὶ λειμῶσι προσομοιοῦσιν, αὐτὴν δὲ τὴν ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες, διὰ δὲ τῶν ποταμῶν τὸ πλῆθος καὶ τὴν ἐπὶ τὸ ποιεῖν ὁρμὴν, διὰ δὲ τῶν μελισσῶν τὸ ἐπιμελὲς καὶ τὸ συντεταγμένον, ἅμα καὶ τὸ τῶν ποιημάτων μελιχρὸν, τοὺς στεφάνους ἕνεκα τοῦ λαμπρύνεσθαι δἰ αὐτῶν τοὺς ἐπαινουμένους. ταῦτα δὲ πάντα συλλαβὼν ὁ Εὐριπίδης ἐφαίδρυνε τὴν ἀλληγορίαν, δἰ ἧς τὸν εἰς τὴν Ἄρτεμιν ὕμνον ἐβουλήθη παραστῆσαι, τῶν ἄλλων ποιητῶν σποράδην τοῖς τρόποις χρησαμένων. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος δρέπεσθαι διὰ τὸ δεῖν τὴν ποιητικὴν ψυχὴν καθαράν τε καὶ ἀκήαἰδὼς 5. δὲ—] Hoc scholion non 13. κυρίως τις om. A. in lacuna. est in M. 7. καὶ γεωργεῖ om. A. (p. 85, 14.) I. 17. αὐτῆς A. αὐτῶν I. 9. αἰδημονικὸν] ἡγεμονικὸν B. 18. τὸ ποιεῖν A.B. τὰ ποιήματα Fl. ib. ὅσοις] ὅσοι A. τὰ ποία I. ib. διδακτὸν add. A.B. Fl. 6., 19. μελιχρὸν hic A.B., ante τῶν om. I. p. 16> ἀνθέων A. ἀνθέων ὡς εἴρηται ποιημάτων I. ib. βίας A.B. μιᾶς I. Conf. ib. τοὺς στεφάνους] τοῖς στεφάνοις Matth. 11. δέδοται add. A. 22. ἐβουλήθη A. ἠβουλήθη I. 12. ἀπολαύειν A.B. Fl. 6. ἀπολαύει 23. ἀκηράτου λειμῶνος] ἀκηράτων I. λιμόνων (sic) A. ρατον εἶναι καὶ παντὸς κακοῦ ἄχραντον. δεῖ γὰρ τοὺς ποιητὰς αἰδοῦς μεμοιρᾶσθαι πάντων. διὸ καὶ τὰς Μούσας παρθένους εἶπον ἔνιοι.

2.79 79. ὅσοις διδακτὸν μηδέν: διδακτόν ἐστι τὸ μὴ ἐκ φύσεως πλεονέκτημα, ἀλλ̓ ἐκ συνεχοῦς μελέτης ἀνυόμενον. καὶ οἱ φιλόσοφοι διδακτὰ μὲν τὰ πονηρὰ καλοῦσι, φυσικὰ δὲ τὰ ἀγαθά. διδακτὸν οὖν τὸ ἐκ βίας τῆς φύσεως μάθημα, ἢ συνεχεῖ ἐγνωσμένον μελέτῃ. τὰ γοῦν ἑξῆς ἐπινοίᾳ καλὰ καὶ πάλιν καλά εἰσιν.

2.80 80. εἴληχεν: ἔλαχεν M.

2.81 81. δρέπεσθαι: γρ. ἕπεσθαι. B. Fl. 15. καρποῦσθαι. M. συνάγειν. A.

2.83 83. ἀνάδημα δέξαι: ἀντὶ τοῦ ἀπὸ καλοῦ καὶ δικαίου δέξαι σιέφανον. A.B. Fl. 15.

2.85 85. σοὶ καὶ ξύνειμι: τὸ ἑξῆς, σοὶ δὲ σύνειμι καὶ λόγοις ἀμείβομαι καὶ μόνῳ βροτῶν τοῦτό ἐστιν ἐμοὶ γέρας. M.

2.87 87. τέλος δὲ κάμψαιμ̓: τὸ δὲ τέλος τοῦ βίου ἀναλύσαιμι, ὥσπερ καὶ ἠρξάμην, ἐν σωφροσύνῃ διατελέσας. Fl. 15. κάμψαιμι: παύσαιμι. Fl. 2.

2.88 88. ἄναξ: σῶτερ. A.B.M. ἀπὸ τοῦ ἔχειν τὴν ἄνω ἀξίαν. BI. 1. τοὺς ποιητὰς] In A. cormpendiis ib. συνεχεῖ ἐγνωσμένον μελέτῃ A.B. scriptum quae τῆς ποιητικῆς legi M. Fl. 6. συνεχὴς μελέτη (omisso possunt. ἐγνωσμένων) I. 2. προσήκειν I. φρονοῦσιν B. clare, 9. ἑξῆς om. M.: verba τὰ γοῦν ἑξῆς—καλά εἰσιν om. B.I. in A. vero φρο. προσήκειν, quod interpolatoris ib. καλὰ καὶ πάλιν καλά M. καὶ est, delet Matth. et πάλιν πολλὰ A. πάντων in πάντως mutat, pro quo 12. γρ. om. Fl. 15. πάντοτε conjicere poterat, quod est ib. Schohon ad v. 82. hic vulgo in fine scholii v. 73. p. 85, 23. ubi lectum τοῦτο πάλιν—πότνια vide ad similia leguntur. v. 73. p. 84, 10. 7. μὲν om. M. 14. ἀντὶ τοῦ om. B., στέφανον ib. τὰ πονηρὰ καλοῦσιν M. λέγουσι om. A. 21. τὴν ἄνω ἀξίαν] τὴν ἄνω τάξιν τὰ κακὰ A.B.I. ib. διδακτὸν A.B.M. Fl. 6. δυνατὸν dixit Etym. M. p. 97, 52. ἀνωτάτην I. τάξιν gramm. in Crameri Anecd. 8. τῆς, add. M.: sine τῆς eadem Oxon. vol. 1. p. 34, 16. in scholio v. 78. p. 87, 9. ἄναξ: κυρίως ὁ σωτήρ. διὸ καὶ τοὺς θεοὺς ἄνακτας καλοῦσι, καταχρηστικῶς δὲ καὶ τοὺς δεσπότας ἄνακτας καλοῦσιν ὡς δευτέρους σωτῆρας. δηλοῖ δὲ τοῦτο μάλιστα Ὅμηρος “Ἀστυάναξ, οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ,” οἷον ὁ τοῦ ἄστεος σωτήρ. ὦ οὖν ἄναξ—θεοὺς γὰρ καὶ σωτῆρας τοὺς δεσπότας καλεῖν χρή. δύναται δὲ τὸ μὲν ἄναξ ἐπὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἱππολύτου, τὸ δὲ δεσπότας ἐπὶ θεῶν. εἰκὸς γὰρ καὶ αὐτὸν μέλλοντα περὶ τῆς θεοῦ συμβουλεύειν πάσης ἀνθρωπίνης φύσεως ὑπερτιθέναι τὸ κρεῖττον.

2.90 90. καὶ κάρτα γε: καὶ λίαν. B. καὶ πάνυ. B. rec. καὶ μάλιστα. τὸ δὲ κάρτα κατ᾽ἐναλλαγὴν λέγεται στοιχείου κράτα, οἷον κραταιῶς, ὡς ἀπὸ τοῦ σάφα σαφῶς. B.M.I. καὶ κάρτα γ᾽· ἦ γάρ: εἰ γὰρ μὴ ἀπὸ τῶν ἡττόνων δεχόμεθα λόγους, οὐκ ἐσμὲν σοφοί. B.I. Fl. 15. μὴ ποιήσαντες τοῦτο μηδὲ δεξάμενοι τὴν ἀγαθὴν συμβουλήν. B.

2.91 91. νόμος: τὸ γεγραμμένον διάταγμα, τὸ κρατοῦν καὶ γεγραμμένον· ἔθος δὲ τὸ μὴ γεγραμμένον. B.I.

2.92 92. μισεῖν τὸ σεμνόν: σεμνὸν τὸ ὑπερήφανον καὶ τὸ ἐπαχθές. 1. ὁ σωτὴρ A.M. ὁ om. B.I. 5. καλεῖν ante τοὺς δεσπότας M. ib. διὸ καὶ τοὺς A.M. τοὺς οὖν B.I. ib. μὲν et δὲ om. M. ib. ἄνακτας A.M. ἄνακτας καὶ σωτῆρας 6. θεῶν B.M. τῶν θεῶν I. 7. περὶ τῆς θεοῦ συμβουλεύειν addidi B I. ib. καλοῦσι M. καλ A. καλοῦμεν ex B. 8. κρεῖττον I. κρυπτόν B. 2. δὲ καὶ] καὶ om. M. 12. αὐτὸν om. Fl. 6. ib. ἄνακτας καλοῦσι om. A., καλοῦσι 13. ὑπερτιθέντα] ὑπερτιθέναι Fl. 6. om. B. 15. καὶ μάλιστα. τὸ δὲ κάρτα om. ib. καλοῦσι M. καλοῦμεν I. M. 3. δηλοῖ δὲ τοῦτο μάλιστα om. M. 16. κατ᾽M. κατὰ B.I. Totum scholion δηλοῖ δὲ—ὑπερτιθέναι ib. λέγεται—κραταιῶς] ἐστι ἀπὸ τὸ κρεῖττον om. A. Postrema εἰκὸς γὰρ τοῦ κάρτα οἷον κραταιῶς M. —κρεῖττον om. etiam M. 18. δεχόμεθα] οὐ δεχόμεθα I. ib. Ὅμηρος] Il. 7. 400. ib. λόγους] λόγον Fl. 15. 4. οἷον M. εἴρηται γὰρ οἷον B.I. 23. μισεῖν τὸ σεμνόν lemma in M., δηλοῖ δὲ ἡ λέξις καὶ τὸ τίμιον, ὡς ὑποκατιών φησι “πῶς οὖν σὺ σεμνὴν δαίμον᾽οὐ προσεννέπεις;” ἀντὶ τοῦ σεβαστήν. B. M.I. δηλοῖ δὲ καὶ τὴν πάνυ τιμίαν “σεμνή γε μέντοι.” διὸ καὶ τὸ χ. B.

2.94 94. σεμνός: ὑπερήφανος. Fl. 15. ἀχθεινός: ἀλαζονικὸς, οὐχὶ λνπηρός. B. λυπηρός. M. Fl. 15.

2.95 95. εὐπροσηγόροισιν: τοῖς μετρίοις. B. rec.

2.96 96. καὶ κέρδος γε: τῆς προσηγορίας ὁ μόχθος βραχύς· δἰ αὐτῆς γὰρ πρᾶγμα εὑρίσκει. B.M.I. ἐστὶ πολύ. B.

2.97 97. ἦ κἀν θεοῖσι: ἆρα οὖν καὶ αὐτὸ τοῖς θεοῖς ὑπονοεῖν χάριν ἔχεις τοῖς συνηγόροις. τὸ εἶναι προσηγόρους. B.

2.98 98. εἴπερ: ἐπεί. B. εἴπερ γε θνητοί: ἐπεὶ παρὰ θεῶν ἔλεγον τοὺς νόμους ἀκηκοέναι οἱ νομοθέται, ὡς Λυκοῦργος μὲν ὑπὸ Ἀπόλλωνος, Μίνως δ᾽ ὑπὸ Διός. Ὅμηρος “ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής.” Ἄλλως. τοῦτο εἶπεν, ἐπειδὴ ἐξ ἀρχῆς Ῥαδάμανθυς καὶ Μίνως παρὰ θεῶν τὰ νόμιμα διδασκόμενοι τοῖς ἀνθρώποις φανερὰ ταῦτα ἐποίησαν.

2.99 99. σεμνήν: τιμίαν. B. σεπτὴν καὶ τιμίαν. Fl. 15. οὐ προσεννέπεις: πῶς οὖν τὴν τιμίαν θεὸν οὐ προσαγορεύεις; M. ὁμιλεῖς. A. οὐ συναγορεύεις. B.I.

2.100 100. εὐλαβοῦ: ἀντὶ τοῦ σιώπα, μὴ κατά τι ἁμάρτῃς τοῖς σοῖς ῥήμασιν· ὑπενόησε γὰρ αὐτὸν τὴν Ἄρτεμιν λέγειν. A.B.M. στόμα: διὰ τῆς Ἀφροδίτης. A.B.M.

2.101 101. Κύπρις: ἦν γὰρ ἐκεῖ ἄγαλμα τῆς Ἀφροδίτης. B.

2.102 102. πρόσωθεν: πόρρωθεν. B. οὕτως καὶ Ἀριστοφάνης “μὰ τοὺς πρόσωθεν.” M. ἁγνὸς ὢν αὐτὴν μακρόθεν ἀσπάζομαι. A. B.M.

2.103 103. σεμνή: τιμία. M.

2.104 104. ἄλλοισιν ἄλλος: ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐ πάντες τοὺς αὐτοὺς θεοὺς σέβομεν, οὐδὲ τοὺς αὐτοὺς ἀνθρώπους ἀγαπῶμεν. ἀλλ᾽ ἄλλοι μὲν τόνδε, ἄλλοι δὲ τόνδε. ὁμοίως δὲ κἀγὼ τὴν Ἄρτεμιν σέβω, ἄλλοι δὲ τὴν Ἀφροδίτην. A.B.M.I. διαφόροις, φησὶν, ἀνθρώποις ἄλλος θεῶν καὶ ἄλλος ἀνθρώπων ἐν φροντίδι ἐστίν. “ἄλλος δ᾽ ἄλλῳ ἔρεζε θεῶν ἀειγενετάων.” A.M.

2.105

Eulogikon public reading copy · View original HTML at eulogikon.org

105. εὐδαιμονοίης: εἴδε. B. οὕτω φρονῶν περὶ τῶν θεῶν. B.I. μήτε ὑπὲρ τὸ καθῆκον φρονῶν μήτε ὑπὲρ ἄνθρωπον, ὅ ἐστιν, εἴη σε τῆς ἀρετῆς ἔχειν τὸ ἄκρον, μὴ ὑπὲρ ἄνθρωπον φρονοῦντα. Ἄλλως. εἴης εὐδαίμων τὰ καθήκοντα φρονῶν. λυποῦμαι γὰρ νῦν ὁρῶν σε ἀφρονοῦντα.

2.106 106. οὐδείς μ᾽ἀρέσκει νυκτὶ θαυμαστὸς θεός: οἷον ἔστι θεὸς μυούμενος ἐν νυκτὶ ἐμοὶ οὐκ ἀρέσκει διὰ τὸ νυκτὸς ἀφροδισιάζειν.

2.107 107. τιμαῖσιν, ὦ παῖ: ταῖς νομίμοις τιμαῖς τῶν θεῶν προσήκει σοι χρῆσθαι. χρὴ γὰρ ταῖς τιμαῖς τῶν θεῶν προσέρχεσθαι, τουτέστι τιμᾶν τοὺς θεούς.

2.108 108. ὀπαδοί: ἀκόλουθοι. M.

2.109 109. σίτων μέλεσθε, τερπνόν: τερπνὸν γὰρ ἐκ κόπου κυνηγίας εὑρεῖν τράπεζαν γέμουσαν καὶ κορεσθῆναι. Ἄλλως. τράπεζα πλήρης προτεθεῖσα δηλονότι. καὶ καθολικόν ἐστι, τοῦ καμάτου εὐεκτότερα ποιοῦτος τὰ σώματα τῇ κινήσει τοῦ θερμοῦ.

2.110 110. καταψήχειν: ψηκτρίζειν. M.

2.112 112. τὰ πρόσφορα: τὰ συνήθη, τὰ ἐπιτήδεια. A. τὰ συνήθη καὶ ἕτοιμα, τὰ ἁρμόζοντα, τὰ καθήκοντα, ἤτοι τὰ σύμφορα. B.M.I.

2.113 113. χαίρειν: ἀντὶ τοῦ σώζεσθαι. M.

2.115 115. ὡς πρέπει δούλοις λέγειν: οἷον, ὡς πρέπει δούλοις, τὴν εὐχὴν ποιησόμεθα. οἷον οὐ μετὰ πολυτελείας θυσιῶν, ἀλλὰ ψιλὴν τὴν προσφώνησιν ποιησόμεθα. A.B.M.I. ἀντὶ τοῦ ἀπαρρησιάστως λαλῶ. Fl. 15.

2.117 117. χρὴ δὲ συγγνώμην ἔχειν: ἀπὸ ἄλλης ἀρχῆς. A. εἰς τὸ ἔχειν τελείαν στιγμὴν, τὸ δὲ ἑξῆς ἐξ ἄλλης ἀρχῆς. M.

2.118 118. ὑφ᾽ἥβης: ὑπὸ καὶ προπετείας νεότητος θρασὺ καὶ ἰταμὸν καὶ ἀναιδὲς καὶ ἄτιμον ἔχων τὸ σπλάγχνον. M. ὑπὸ προπετείας. B.I. ἔντονον: θρασὺν, ὀργίλον. Fl. 15. ἢ σκληρόν. B.

2.119 119. μὴ δόκει τούτου κλύειν: μὴ νόμιζε μηδὲ ἀκούειν τοῦ τοι ούτου λόγου. M.

2.120 120. σοφωτέρους: φιλανθρωποτέρους. A.B.I.

2.121 121. Ὠκεανοῦ τις: ὁ χορὸς συνέστηκεν ἐκ Τροιζηνίων γυναικῶν, συναχθεὶς εἰς ἐπίσκεψιν τῆς Φαίδρας. καὶ πρῶτα μὲν διηγεῖται, 1. Edidi hoc scholion ut legitur ib. ἤτοι om. M.I. Post σύμφορα in A.m. In B.I. est χρὴ ταῖς τιμαῖς M. addi τὰ ἐσιτόδια. τὲ δέοντα. —τιμᾶν τοὺς θεοὺς ταῖς νομιζομένναις τιμαῖς τῶν θεῶν, αἷς προσήκει χρῆσθαι. 13. οἷον om. I. 14. οἷον οὐ] ἀντὶ τοῦ οὐ B.I. 5. κόπου] καμάτου τῆς M. ib. πολυτελείας θυσιῶν—ψιλὴν τὴν 6. Ἄλλως om. A.M. M. πολυτελοῦς θυσίας—ψιλὴν ceteri. 10. τὰ συνήθη καὶ ἕτοιμα M. τὰ 15. ἀπαρρησιάστως λέγω B. συνήθη ἤτοι τὰ ἕτοιμα B. et, omisso 19. ὑπὸ . . . καὶ προπετείας] ὑπακοης (sic fere) καὶ προπετείας M. corrupte. τὰ συνήθη, I. 11. τὰ ἁρμόζοντα, τὰ καθήκοντα 25. συνέστηκεν Matth. pro ἧκεν. om. M. πόθεν αὐτῇ ἡ φήμη τῆς νόσου τῆς βασιλίσσης εἰσῆλθεν. ἔπειτα δὲ καὶ ζητεῖ τίς ἂν εἴη ἡ πρόφασις τῆς νόσου. Ἄλλως. ὁ νοῦς· πέτρα τις ἐστὶν ὕδωρ Ὠκεάνειον στάζουσα, οὐ διϊπετὲς, οὐδὲ ὑέτιον, ἀλλ᾽ αὐτομάτως βλύζον. πᾶν δὲ ὕδωρ ὠκεανὸς λέγεται. Ἄλλως. πέτρα τις λέγεται τοσοῦτον ὕδωρ ἔχουσα πηγαῖον ὥστε βάπτειν ὑδρίαν. Ὠκεανοῦ δὲ, καθὸ γλυκὺ καὶ πότιμον.

2.123 123. βαπτὰν κάλπισι: οἷον ὥστε βαπτίζειν ἐν τῇ εὐύδρῳ πηγῇ τὴν ὑδρίαν, ἢ ὅσον δύναταί τις χαλῶν τὴν ὑδρίαν γεμίζειν, ἢ τὴν περιρρεομένην ὑπὸ τοῦ ὕδατος πηγήν. Ἄλλως. ὡς “ κοτυλήρυτον αἷμα,” τὸ τὴν κοτύλην ἀναβάψαν. ἢ ὅτι περὶ τὴν Τροζηνίαν τοιαύτη τίς ἐστι πέτρα, ἐξ ἧς τὸ καταφερόμενον ὕδωρ βάπτει τὰς ὑδρίας, ὡς Διονυσόδωρος ἐν τῷ περὶ ποταμῶν φησί.

2.124

Eulogikon public reading copy · View original HTML at eulogikon.org

124. προϊεῖσα κρημνῶν: πέμπουσα τὸ ὕδωρ διὰ τῶν κρημνῶν. M. ἐκ τοῦ ὕψους αὐτῆς. B. τὸ ὕδωρ κατὰ τῶν κρημνῶν ἐξ ὕψους καταχέουσα.

2.126 126. φάρεα: ἱμάτια, περιβόλαια. B.

2.128 128. τέγγουσα: βρέχουσα, πλύνουσα ἐπὶ τὰ νῶτα τῆς θερμαινομένης τοῦ ἡλίου βολαῖς πέτρας.

2.129 129. εὐαλίου: ἀντὶ τοῦ εὐηλίου πέτρας. M. κατέβαλ᾽ : καταβαλοῦσα. B. rec. ὅθεν: ἀφ᾽ ἧς. B. φάτις: φήμη. M.

2.131 131. τειρομέναν: καταπονουμένην ὑπὸ τῆς νόσου. B. Fl. 15.

2.132 132. δέμας ἐντὸς ἔχειν: ἐντὸς ἀντὶ τοῦ ἐν τοῖς μυχοῖς τοῦ οἴκου. τοῦτο δὲ, ἐπεὶ καὶ σωφροσύνης ἕνεκα πολλάκις ἀπροϊσία γίνεται. λεπτὰ δὲ φάρεα, λεπτοῖς δὲ φάρεσι κατακαλύπτεται τὴν κεφαλήν. οὐ γὰρ ἀνέχεται βαρύτερα διὰ τὴν προσοῦσαν καῦσιν τῆς νόσου.

2.135 135. τριτάταν δέ νιν κλύω: τὸ ἑξῆς· τριτάταν δέ νιν κλύω τάνδε scholii proximi habet M. cum δέ ib. ἔχειν] ἔχει I. post νῶτα (quod est etiam in A.) ib. ἐντὸς ἀντὶ] ἐντὸς om. B.I. Idem habet gl. βρέχουσα, πλύνουσα. ib. ἀντὶ τοῦ A.B.M. ἀντὶ τοῦ ἔσω p. 93. l. 21. τοῦ ἡλίου] ἐν ταῖς τοῦ τῆς κλίνης I. 16. τοῦτο δὲ A.M. τοῦτο δέ φησιν ἡλίου M. ib. πέτρας om. A.M. 1. ὅθι μοί τις ἦν φίλα addidi ex ib. ἀπροϊσία factum, ut ἀπρόϊτος apud Suidam, e προϊέναι. MATTH. A.B.M. ib, ὅπου μοι τις φίλη iidem. ὅθι 17. φάρεα om. A. Novum scholion incipit in B. cum lemmate μοι φίλη τις I. 3. ἐπελθοῦσα] ἀπελθοῦσα B.M. ἀπελθούσῃ λεπτὰ δὲ φάρεα. A. Fl. 6. 15. ib. κατακαλύπτεται] κατακαλύπτεσθαι 4. καταβαλοῦσα Heathius. καταβαλούσῃ M. A.B.M. καταβαλούσης I. 18. οὐ γὰρ] οὐκ I. 5. βασιλείας A. βασιλίσσης ceteri. ib. ἀνέχεται] ἐνέχεται I. ib. προσοῦσαν] παροῦσαν Fl. 15. ib. πρῶτον] ᾱ M. ib. καῦσιν om. I. 6. βασιλέων προσεμπίπτειν A.B.M. ib. τῆς νόσου addidi ex B. Fl. 6. Fl. 6. 15. βασιλεῖς προσπίπτειν I. 15. 11. ὅπου om. I. 19. δέ νιν] δὲ αὐτὴν M. 13. τουτέστι κλινήρη addidi ex M. ib. τάνδε] ταύτην τὴν Fl. 6. 15. 15. δέμας A. δέμας δὲ ceteri. ἡμέραν κατέχειν ἁγνὸν τὸ στόμα τῆς Δήμητρος ἀκτῆς. οἷον λοιπὸν τρεῖς ἡμέρας ἔχω ἀκούων περὶ αὐτῆς ὅτι ἀσθενεῖ καὶ οὐ μεταλαμβάνει βρώσεως ἐν τῷ στόματι αὐτῆς. τὸ δὲ “κρυπτῷ πένθει” ἀντὶ τοῦ ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐκφαινομένη πρὸς τὸ τέλος τοῦ θανάτου φέρεται, ἀντὶ τοῦ ὑπὸ τῆς ἀλγηδόνος καὶ τῆς νόσου τῆς κρυπτῆς μέλλει ἀποθνήσκειν. θαυμασίως δὲ ὁ Εὐριπίδης περὶ Ὀρέστου νοσοῦντός φησιν “οὔτε σῖτα διὰ δέρης ἐδέξατο,” ὡς βουλομένου μὲν φαγεῖν, μὴ δυναμένου δὲ καταπιεῖν ὑπ᾽ ἀσθενείας, περὶ δὲ Φαίδρας, ἀσιτεῖν βουλομένης εἰς θάνατον, τὸ σύνολον αὐτὴν μὴ δέχεσθαι εἰς τὸ στόμα τροφήν.

2.138 138. δέμας ἁγνὸν ἴσχειν: περιφραστικῶς τὸ στόμα, ἤγουν μὴ ἐσθίειν. A. Δάματρος ἀκτᾶς: τροφῆς τῆς γῆς. A. ἐκ τοῦ καταθλᾶσθαι ἀκτῆς τῆς τροφῆς τοῦ σίτου, ὅ ἐστι δῶρον τῆς Δήμητρος, ἤγουν τῆς γῆς. B. λέγει δὲ τὴν οἱονεὶ ἀγὴν καὶ κλάσιν τοῦ σίτου διὰ τὸ κατάγνυσθαι ἐν τῇ ἅλωνι, τῷ μύλωνι θραύεσθαι. B.I. στόματος δέμας: κατὰ περίφρασιν, τὸ στόμα, ὡς δέμας πυρὸς, ἤγουν τὸ πῦρ. Fl. 15. ἁγνόν: ἀμέτοχον. B. ἄθικτον. “ἁγνὴ γάρ εἰμι” Μένανδρος. Fl. 15. ἴσχειν: ἔχειν. B. κωλύειν. Fl. 15.

2.140 140. κέλσαι ποτὶ τέρμα: ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐμφαινομένῃ, πρὸς τὸ τέρμα τοῦ θανάτου κέλσαι καὶ προσπελάσαι θέλει. οἷον ἀκούω αὐτὴν ἀσιτεῖν καὶ ἀποθανεῖν σπουδάζουσαν διὰ μετάστασιν βίου. B.I.

2.141 141. σὺ γὰρ ἔνθεος ὦ κούρα: ἀπέτεινε λοιπὸν τὸν λόγον πρὸς τὴν Φαίδραν, τῆς νόσου αὐτῆς τὴν πρόφασιν ζητοῦσα, αἰτίους τοὺς δαίμονας προθεμένη. ἐνίοτε γὰρ ἐδόκει μαίνεσθαι ἐκ τῆς ὑπερβολῆς τοῦ ἔρωτος. B.M.I. μὴ καθεστάναι δοκοῦντα ῥήματα φθεγγομένη, οἵανπερ αὐτὴν εἰσάγει καὶ κυνηγεσίων ἐρῶσαν, καὶ δι᾽ αἰνιγμάτων τὰ τοῦ ἔρωτος φράζειν, δοκοῦσαν μαίνεσθαι. Ἄλλως. ἐμάνης ἐν σεαυτῇ μανιῶδές τι ἔχουσα. τὸ δὲ ἑξῆς, ἔνθεος φοιτᾷς, ὥστε εἶναι τὸ ἑξῆς τῆς διανοίας οὕτως· σὺ γὰρ, ὦ κόρη Φαίδρα, ἔνθεος καὶ ἐμμανὴς φοιτᾷς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνθουσιᾷς, ἔκ τινος θεῶν τοῦτο παθοῦσα. καὶ ἀπορούσῃ εἰπέ μοι, ἐκ Πανὸς σὺ ἐμάνης, εἴτε ἐκ τῆς Ἥρας, ἢ Κορυβάντων τοῦτο νοσεῖς; λέγειν οὐκ ἔχω καὶ εἴ τι τούτων ἁμαρτήσασα τὴν ὀρείαν καὶ μανίας αἰτίαν. B.I. Fl. 6.

2.142 142. εἴτ᾽ἐκ Πανός: πόθεν λέγειν οὐκ ἂν δυναίμην. ὁ ει ἀντὶ τοῦ η καὶ ὁ τε παρέλκει. τὸ δὲ φοιτᾷς ἀντὶ τοῦ μαίνῃ. A.B.M.

2.143 143. σεμνῶν Κορυβάντων: ἀντὶ τοῦ τιμίων. M. Κορύβαντες μανίας αἴτιοι· ἔνθεν καὶ κορυβαντιᾶν. A.B.M. τιμίων. τῇ Ῥέᾳ ἐπακολουθοῦντες μετὰ ἤχου καὶ μανίας. B.

2.144 144. ματρός: τῆς Ῥέας τῆς ἐν τοῖς ὄρεσι διατριβούσης. A.B. M. Fl. 15.

2.148 146. Δίκτυνναν ἀμπλακίαις: τὴν Δίκτυνναν νῦν διέκρινε τῆς Ἑκάτης ἐνίων τὴν αὐτὴν εἶναι φασκόντων. τινὲς δὲ Δίκτυνναν τὴν Ἄρτεμιν ἀπὸ τῆς κυνηγοῦ νύμφης, τῆς ἐμπεσούσης εἰς δίκτυα, Βριτομάρτιδος φευγούσης τὸν Μίνωα. παρὰ δὲ Καλλιμάχῳ ἐν Ἀρτέμιδος ὕμνῳ ἡ ἱστορία. τινὲς δὲ τὴν αὐτὴν εἶναι τῇ Ἑκάτῃ, περὶ ἧς φησιν Ἡσίοδος “μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.” .

2.148 148. φοιτᾷ: φοιτῶσι γὰρ οἱ θεοὶ πανταχοῦ τοὺς ἀτιμάζοντας τιμωρούμενοι. B.M.

2.150 150. νοτίαις: διύγροις. A. ταῖς ὑγραῖς. Fl. 15. ἅλμας: θαλάσσης. Id.

2.151 151. ἢ πόσιν τὸν Ἐρεχβειδᾶν: στοχαστικὸν τὸ ἦθος. ἢ, φησὶν, 1. τὴν (τὴν om. A.) Δίκτυνναν (δικτυναν θυσίαν. M. hic et infra) νῦν διέκρινε τῆς ib. πέλανοι (πελανοὶ B. et mox ἑκάτης add. A.B.M. Fl. 6. 15., om. πελανῶν)—πέμματα om. A. M. I. Comparandum cum his scholion 9. Ἄλλως om. A.M. qui habent ad v. 1130. τὸ δὲ ἐξῆς. τὸ ἑξῆς (sic. Fl. 15.)—τουτέστι 2. εἶναι] γῆν A. om. B.I. 12. Post μείνασα Fl. 15. pergit 3. ἀπὸ] ἢ τὸ A. ib. νύμφης τῆς] τῆς om. I. ἑαυτὴν διὸ τῶν θυμάτων καταπορεῖ. Praeterea 4. Βριτομάρτιδος (βροτ—A.) φευγούσης in Flor. 15. et 6. eadem leguntur γούσης τὸν Μίνωα] κριτομάρτιδος φαγούσης quae hic, nisi quod in ine τὸν μίωνα (sic) I, habent: πελάνων δὲ τῶν πλακουντωδῶν ib. ἐν Ἀρτέμιδος (Ἀρτέμιδος om. πεμμάτων τῶν ἐπιθυομένων. πέμματα A.M.) ὕμνῳ] V. 190. δὲ τὰ πλακούντια ἀπὸ τοῦ πέττω τὸ 5. δὲ om. M. ζυμῶ. MATTH. 6. Ἡσίοδος] Theog. 413. τε om. I. ib. καὶ μὴ om. M., μὴ om. A. 7. σὺ δ᾽ ἀμφὶ τὸν πολύθηρον lemma ib. ἀνιερώσασα] ἀνιερῶσα A. est in A.M. In B.I. ὁ δὲ νοῦς. ib. τῇ θεῷ om. A.M. 8. ἢ τῇ Ἑκάτῃ ὅτι A.M. ἢ διότι καταπονῇ A.M. τρύχῃ B I. Reliqua τῇ ἑκάτῃ B.I. liqua om. A.M. ib. Post θυσίαν A. et Flor. 6. 15. 13. πεμμάτων B. πελάνων I. Addunt: σὺ μὲν δὴ, φησὶ, διὰ τοῦτο 15. φοιτῶσι γὰρ οἱ] φοιτῶσιν οἱ M. τρύχῃ. διότι τῇ ἑκάτῃ οὐκ ἐτέλεσας 19. στ. τὸ ἦθος om. M. εἰς οὐδένα τῶν θεῶν ἥμαρτες, ἀλλὰ ἔρωτα νοσεῖς τινός σε μοιχευομένου, καὶ τὸν ἄνδρα σου τὸν Ἀθηναίων βασιλέα βουκολεῖς καὶ ἀπατᾷς ἐπὶ τῶν σῶν λεχέων κρυπτῇ χρωμένη κοίτῃ. δύναται δὲ καὶ ἀντεστραμμένος ὁ λόγος εἶναι· ἢ τὶς γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῷ ἔρωτι τῷ αὐτῆς λάθρα χρώμενον, καὶ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατήχθης. Ἄλλως. ἢ, φησὶν, εἰς οὐδένα τῶν θεῶν ἥμαρτες, ἀλλὰ τάχα τὸ δεινὸν ἔρως ἐστὶ καὶ μοιχεία ἑτέρου, φόβῳ δὲ τοῦ ἀνδρὸς καὶ ἔρωτι τοῦ μοιχοῦ κατεχομένη ἀγωνιᾷς. δύναται δὲ καὶ ὡς τοῦ Θησέως ἔχοντος ἑτέραν γυναῖκα ὁ λόγος τάττεσθαι· ἤ τις γυνὴ ἀπατᾷ σου τὸν ἄνδρα τῇ ἑαυτῆς λαθραίᾳ συνουσίᾳ, σὺ δὲ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατέστης. ἀγνοεῖ γὰρ ὁ χορὸς ἔκδημον ὄντα τὸν Θησέα, ὅπου γε καὶ ἐν τοῖς ἑξῆς φησιν “ὁ δ᾽ εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων.” εἶτα ἡ τροφὸς “ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός.” ἀγνοῶν γὰρ καὶ αὐτὸν ἐνόμιζε παρόντα συνορᾶν τὰ γινόμενα.

2.153 153. ποιμαίνει: ἀποβουκολεῖ. B. ὡς πρόβατον ἀποβουκολεῖ. Fl. 15. τις: γυνή. οὖσα αὐτοῦ. B.

2.154 154. λεχέων σῶν: διὰ τῶν. Fl. 2. ἀπό. B.

2.155 155. ἢ ναυβάτας: ἕτερος λογισμὸς νόσου. ἢ τάχα τις ναύτης ἐκ Κρήτης ὁρμήσας εἰς Τροιζῆνα φήμην πένθους τῶν οἰκείων ἀπήγγειλεν αὐτῇ. Ἄλλως. τάχα τις ἦλθεν ἐκ τῆς πατρίδος αὐτῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λυπηρὰν φήμην κομίζων, καὶ ἐκ τούτων τῶν παθῶν τῶν ἠγγελμένων, καὶ τῇ ὑπὲρ τῶν παθῶν εὐναίᾳ λύπῃ δέδεται τὴν ψυχὴν, ὡς καὶ εἰς τηλικαύτην νόσον ἀποσκῆψαι τῆς λύπης. εὐναίᾳ δὲ λύπῃ τῇ εἰς εὐνὴν κατακλινούσῃ διὰ τῆς νόσου. τουτέστιν, οὕτω συνδέδεται ἡ Φαίδρα τῇ εὐναίᾳ λύπῃ, ὡς ὑπερβαλεῖν ἅπαν πάθος. γράφεται δὲ καὶ πρὸς εὐθεῖαν, ὑπὸ τῆς λύπης εὐναία ἡ Φαίδρα δέδεται τὴν ψυχήν.

2.156 156. Κρήτας: ἐπί. B.

2.157 157. λιμένα: τὸν Τροιζήνιον. Fl. 15. Μουνύχιον. B. εὐξεινότατον: τὸν καλῶς ὑποδεχόμενον τοὺς ναύτας λιμένα. A.B. Fl. 15.

2.158 158. φήμαν: τὴν περὶ τῶν γονέων. Fl. 15.

2.159 159. ὑπὲρ παθέων: ὅ ἐστι διὰ τὰ πάθη συνδέδεται αὐτῆς ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ, ἀντὶ τοῦ εἰς εὐνὴν αὐτῇ κατακλινούσῃ· ἢ αὐτὴ Φαίδρα εὐναία δέδεται τὴν ψυχὴν, τουτέστιν, οὕτως συνδέδεται ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ ὑπερβαλλούσῃ πᾶν πάθος. A.M.

2.160 160. ψυχά: ἡ δὲ ψυχὴ αὐτῆς ἢ διὰ τὰ πάθη, ἢ διὰ τὴν λύπην δεδεμένη ἐστίν. A.B. Fl. 15.

2.161a 161. φιλεῖ δὲ τᾷ δυστρόπῳ: ἀντὶ τοῦ κακοτρόπῳ. καθολικῶς δὲ τοῦτο λέγει. εἰώθασιν αἱ γυναῖκες, ὅταν ἐγγὺς τῶν ὠδίνων γένωνται, δυσχερεῖ τροφῇ χρῆσθαι, καθὸ καὶ δύστροπον αὐτῶν τὸ πνεῦμα τῶν ὠδίνων. A.B.M.I. Ἄλλως. πρὸς ἀνακεφαλαίωσιν τῶν εἰρημένων στοχασμῶν ἐπάγει τὸ γνωμικὸν, τῆς γυναικείας φύσεως διαφόρους αἰτίας βεβαιοῦν. τὸ δὲ φιλεῖ τέτακται ἀντὶ τοῦ εἴωθε, πέφυκεν. πέφυκε τὸ δυστυχὲς τῆς γυναικείας φύσεως διαφόρους ἀμηχανιῶν ἐπάγειν αἰτίας, ποτὲ μὲν δἰ ὠδίνων πόνους, ποτὲ δὲ διὰ πορνείαν, ἤτοι αὐτῶν μοιχευομένων, καὶ ἐπὶ τῇ ἁλώσει ἀπορουσῶν, ἢ τῶν ἀνδρῶν πρὸς ἄλλας ἐχόντων καὶ ἐπὶ τούτων ἀπορουσῶν τῇ ζηλοτυπίᾳ. B.I.

2.161b 161. δυστρόπῳ: δυσχερεῖ. A. δυσκόλῳ, κακοτρόπῳ. B.

2.162 162. ἁρμονίᾳ: τῇ κρυφαίᾳ μίξει. A. φύσει. Fl. 15. κάκωσις. τῇ πρὸς ἄνδρας ἁρμογῇ καὶ συνουσίᾳ. A.B.M. Fl. 15.

2.163 163. συνοικεῖν: συνεῖναι. B. Fl. 15.

2.165 165. ᾖξέν ποτε νηδύος: τὸ πνεῦμα, φησὶ, τῶν ὠδίνων καὶ ἡ αὔρα αὕτη ὥρμησεν ποτὲ διὰ τῆς ἐμῆς γαστρὸς, τουτέστι, καὶ αὐτή ποτε ὠδίνων πεῖραν ἔσχον, καὶ ἔπαθον τοῦτο. ἐγενόμην, φησὶ, κἀγώ ποτε ἐν ἀμηχανίᾳ. B.I. ἅδ̓ αὔρα: ἡ διάθεσις τοῦ σώματος. Fl. 2.

2.615 615. σύγγνωθ᾽ · ἁμαρτεῖν: σύγγνωθι, φησὶν, ἐπὶ τῇ ἀνομίᾳ τοῦ 1. βοᾶν A. βοῶντα. B.I. ib. ὤμοσε, φησὶν, ἡ] ὤμοσεν ἡ A. ib. εἰ δὲ] δὲ om. A. 17. ὀμώμοκεν A. 2. οὐδέν] οὐδὲ A. 18. γλώσσης A. γλώττης B. ib. σὲ A. σοι B.I. 19. τῇ διανοίᾳ A. τῇ κρίσει τῆς ib. κἂν] ἂν A. διανοίας B I. 3. νεανίσκον 1. νέον A.B. 20. καὶ—διανοίας add. A. 5. ἀνακοινσθῆναι] ἀνακοινοῦσθαι A. ib. τε om. A. 6. φησι add. A. ib. φαίνεται A.B. φαίνει I. 7. λεχθῆναι] λέγεσθαι A. 21. αὐτῶν] αὐτῶ A. 9. καλά A. τὰ καλά B.I. ib. γὰρ om. I. 12. ὀμνύω om. A. ib. εἰ μὴ] εἰ μὴ γὰρ A. 13. θεοῦ] τῷ θεῷ A. 22. ηὑρέθην A. εὑρέθην B.I. 14. αὐτῷ] αὐτ A. ib. μήτε (correxi μηδὲ) δόκησιν 15. αὐτὸν om. A. αὐτῷ om. A. in lacuna. 16. ὁ δὲ om. A. ib. πλάττειν] πράττειν A. ib. ᾧ A. ἃ B.I. 23. ἀνομίᾳ] ἁμαρτίᾳ I. λόγου. εἰκὸς γὰρ ἀνθρώπους ὄντας ἁμαρτάνειν, καὶ πέφυκε τοῦτο τῆς θνητῆς φύσεως, ἁλίσκεσθαι τοῖς ἁμαρτήμασιν. Ἄλλως. διὰ τῆς κοινῆς προστασίας ἀπολύεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν.

2.616 616. ὦ Ζεῦ, τί δή: λοιπὸν καταστατικώτερον τὴν γυναικείαν διαβάλλει φύσιν, ἀναφέρων τὸ προοίμιον ἐπὶ τὴν τοῦ κρείσσονος νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντίθεσιν λύει, τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισιασμῶν παῖδας γίνεσθαι. ὁ δὲ νοῦς, διὰ τί, φησὶν, εἰς τὸ φῶς τοῦ ἡλίου τὰς γυναῖκας ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας. κίβδηλον δὲ τὸ μηδὲ δοκιμασίας δεόμενον, ἀλλὰ προφανὲς δεινόν.

2.617 617. οἰκειότατα τῷ προσώπῳ ἡ γυμνασία. πῶς γὰρ ἂν ἀφροδισιασμῶν χωρὶς ἡ φύσις συνίσταιτο; A. B.

2.618 618. εἰ γὰρ βρότειον: εἰ γὰρ ἤθελες εἶναι γένος τὸ ἀνθρώπων, ὤφειλες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι, ἀλλ᾽ ἕκαστον διδόναι ἢ χρυσὸν, ἢ χαλκὸν ἐν τοῖς ναοῖς, καὶ οὕτως ἀγοράζειν. τὸ δὲ ἀντιθέντας ἤτοι ἀνατιθέντας, ἢ ἀντὶ τῶν παίδων τιθέντας, εἰς σημεῖον τοῦ γενέσθαι τὴν αἴτησιν. ἀτόπως δὲ ταῦτα· οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας.

2.623 623. τῆς ἀξίας ἕκαστον: ἄμεινον τὴν ἀξίαν ἐπὶ τῆς φύσεως ἀκούειν, ὅπως χρηστός τις ὢν χρηστοῦ τύχῃ καὶ πάλιν τοὐναντίον, ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῷτο, τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος. τινὲς δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀναθήματος καὶ τιμήματος. βέλτιον δὲ τὸ πρῶτον, οἷον ἐάν τις ᾖ ἀγαθὸς τοῖς τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν, ἵνα καὶ τοῦ υἱοῦ ἀξίου τὸ ἔργον καὶ ὁμοίως μεταλάβοι, καὶ πάλιν τοὐναντίον, ἐὰν ὑπάρχῃ χείρων, ἀξίου καὶ τοῦ παιδὸς τύχῃ.

2.624 624. ναίειν ἐλευθέροισι: χαριέστατον εὐτυχοῦντα τῆς ἀπουσιας τῶν γυναικῶν οἶκον ἐλεύθερον ἔχειν. A.B.

2.625 625. νῦν δ᾽ ἐς δόμους: ἕδνα παρέχοντες δαπάνην ἀγοράζομεν. ἕδνα ὑπὲρ τῆς μνηστείας καὶ πρὸ τῆς πείρας τοῦ κακοῦ κατατιθέμεθα, ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι. δύναται δὲ τὸ πρῶτον καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι, πρῶτον μὲν τὴν οὐσίαν ὑπὲρ κακοῦ δίδομεν, καὶ τὰ ἑξῆς. προκατασκευάσας οὖν λογισμὸν οἰκειότατον τῷ προσώπῳ λοιπὸν κατατρέχει καὶ ἐπὶ τὴν διαβολὴν τῆς γυναικείας φύσεως. ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτὰς, εἶθ᾽ οὕτως ἄρξασθαι τῶν διαβολῶν. τὸ δὲ ἑξῆς ἄριστα ὡς ἐκ συγκρίσεως ἐπιφέρεται. A.B.I. ἄξεσθαι: ἀγαγεῖν. A.

2.626 626. ἐκτείνομεν: ἀποδίδομεν, παρέχομεν. M. ἐκτίνομεν: παρέχομεν. Fl. 2.

2.628

Eulogikon public reading copy · View original HTML at eulogikon.org

628. προσθεὶς γάρ: ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι πρᾶγμα, ὥστε ἀπαλλαγῆναι αὐτὸν τοῦ κακοῦ, καὶ οὕτως τὴν φύσιν τῆς παιδοποιίας εἰς αὐτὴν σώζει ὁ πατὴρ τὴν ἀπαλλαγὴν, ἀντὶ τοῦ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλλασσόμενος. ἄγαλμα δὲ πᾶν ἐφ᾽ τις ἀγάλλεται. ἀγάλλεται δὲ καὶ ὁ ἀνὴρ ἐπὶ τῷ γάμῳ, ὡς ἀνδριάντι ἀναισθήτῳ τιμὰς περιάπτων. λείπει δὲ τὸ ὡς, ὡς ἀγάλματι.

2.632 632. καλὸν κακίστῳ: τουτέστι τὸν χρυσὸν τῷ κακίστῳ γυναικείῳ φυτῷ προστιθεὶς, ὡς ἀγάλματι, χαίρει.

2.633 633. ὄλβον δωμάτων ὑπεξελών: καινοτομῶν τὸν οἶκον αὐτοῦ. M.

2.634 634. ἔχει δ᾽ ἀνάγκην: ταῦτα διεξέρχεται, πάνιη τὸ πρὸς τὴν γυναῖκα μοχθηρὸν ἀποδεικνὺς, ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν, ἀλλὰ καὶ τοὺς γάμους εἰ καλῶς σχοίη. διπλῆ δέ ἐστι πρὸς τὴν 2. ἐλεύθερον ἔχειν B. χαριέστατον ζει αὐτὴν ὁ πατὴρ τὴν ἀ. εἰπεῖν A. ib. τοῦ add. A. 6. οὐσίαν Heathius pro θυσίκν. | 17. τῆς π.] τοῦ π. Fl. 6. 15. 7. καὶ τὰ ἑξῆς om. A. ib. ἄγαλμα δὲ] ἀγάλματι (lemma) ib. προκατασκευάσας οὖν λογισμὸν] A. προκατασκευὰς δὲ λογισμῶν A. ib. πᾶν om. I. δὲ om. A. 8. οἰκειότατον] οἰκειότατα I. 18. ἀνὴρ A. πατὴρ B. I. 14. προσδίδωσι] προδίδωσι A. ib. δὲ om. A. Alterum ὡς om. I. 15. οὕτως A. οὔτε B.I. 28. γάμους] γαμβροὺς A. 16. εἰς αὐτὴν post παιδοποιίας A., ib. καλῶς σχοίη] ταὐτὸ χρΐη (sic) post πατὴρ B.I. In Fl. 15. est σώ- A. στιγμὴν ἡ ἀνάγνωσις. τινὲς γὰρ οὕτως· εἰ δὲ κακὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστοὺς, ἀναγκάζεται στέργειν, εἰ τὰ κεχαρισμένα ἐκείνων πράττειν θέλοι. τινὲς δὲ οὕτως στίζουσιν εἰς τὸ ἔχει δ᾽ ἀνάγκην, ἵν᾽ ᾖ, ὅτι πάντη τε καὶ πάντως ὁ γαμήσας ἐλεύθερος εἶναι οὐ δύναται, ἀλλὰ τὸ ἀναγκάζον καὶ καταδουλοῦν αὐτὸν ἔχει. ἐὰν μὲν γὰρ κακῆς τύχῃ γυναικὸς, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γαμβρῶν ἕνεκα καλῶν ὄντων, ἢ δὶ ἐκείνην ἀναγκάζεται ἀπολαύειν γαμβρῶν ἀχρήστων. τὸ σώζεται δὲ πικρὸν λέχος ἀντὶ τοῦ σώζει. γαμβροῖς δὲ τοῖς πενθεροῖς λέγει, συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέντοι τῷ πενθεροὺς δ᾽ ἀνωφελεῖς ὑγιῶς κέχρηται.

2.638 638. ῥᾷστον δ᾽ ὅτῳ: βέλτιον δὲ μήτε πενθερὸν χρηστὸν μήτε γυναῖκα χρηστὴν ἔχειν. Ἄλλως. ὠφελιμώτερόν ἐστιν ᾧτινι, φησὶ, τὸ μηδὲν οὖσα πρὸς σύνεσιν γυνὴ, ἀλλ᾽ ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται, οὐκ ἔργοις, ἀλλὰ θέᾳ τέρποντος τὸν κεκτημένον.

2.642 642. τὸ γὰρ κακοῦργον: τὸ γὰρ κακοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλέον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γενόμεναι εὐέμπτωτοι διὰ τὸ βραχὺ τῆς γνώμης καὶ ἄδολόν εἰσιν εἰς τὸ ἁμαρτάνειν, ἡ δὲ ἀποροῦσα καὶ ἀνόητος τὴν πορνείαν ἀφῄρηται, τουτέστιν οὐχ ἁμαρτάνει.

2.644 644. μωρίαν ἀφῃρέθη: τουτέστι τῆς ἁμαρτίας ἀπεστερήθη, ἤτοι 1. κακὸν A. καλὸν B.I. 12. φησὶ ante ᾧτινι A. 2. ἀναγκάζεται στέργειν εἰ] ἀναγκὰζει 14. ὡς ἐπὶ—ἵδρυται om. A. ἄγειν αὐτοῦ ἐκεῖνα A. ib. τέρποντος] τέρπουσα A. ib. στέργειν, εἰ τὰ Heathius pro 16. κακοῦργον bis A. Fl. 6. πανοῦργον B.I. In B. supra versum στέγειν τά. 3. ἐκείνων B. Fl. 6. κείνων I., (ad κακοῦργον) γρ. καὶ πανοῦργον. Prima om. A. scholii verba τὸ πανοῦργον—ἐμφύει ib. θέλοι] θέλω B. Fl.6. θέλ) A. habet M. 4. ὁ γ. ἐλεύθερος A.B. ἐλεύθερος ὁ 17. πλέον] πλεῖον A. B. Fl. 6. πλειον M. In B. gl. πλέον ἐμβάλλει. 7. γαμβρῶν A. γάμων B.I. 18. εὐέμπτωτοι] εὐέπτωτοι A. 8. τὸ om. A. ib. διὰ τὸ —ἄδολον post ἀνόητος 9. γαμβροῖς δὲ A. καὶ γαμβροῖς transponit Matthiae. 20. ἀφῄρηται] τὴν ἁμαρτίαν ἀφῃρέθη 10. μέντοι] μὲν A. add. A. ib. κέχρηται] κεχρῆσθαι A. 21. τουτέστι om. A. 11. δὲ] ἐστι Fl. 6. 15. ib. ἁμαρτίας] μωρίας A. ib. χρηστὸν om. I., sed habet lin. ib. ἤτοι τῆς om. A. 12. pro χρηστήν. τῆς πορνείας. μωρίαν γὰρ τὴν πορνείαν, ὅθεν καὶ σινάμωρος ὁ πόρνος. αὕτη γὰρ σκέπειν οὐκ ἔχουσα τὸ πλημμέλημα πρόφασιν κερδαίνει τὴν σωφροσύνην.

2.645

Eulogikon public reading copy · View original HTML at eulogikon.org

645. χρὴ δ̓ εἰς γυναῖκας: ἤδη διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πρόξενοι τῶν κακῶν, λοιπὸν ἐπὶ τὴν διοίκησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει, πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει, φησὶ, τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐταῖς συνοικίζειν, ἵνα κἂν τῇ ἀπορίᾳ τῆς διακονίας νικῶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μάλιστα πρὸς τὸ παράφορον εἴρηκεν. δάκῃ δὲ περιφραστικῶς τὰ θηρία, ἢ τὰ ἔκγονα τῶν θηρίων.

2.649 649. νῦν δ̓ αἱ μὲν ἔνδον: αἱ μὲν δέσποιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακὰ, αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν.

2.651 651. ὡς καὶ σύ γ̓ ἡμῖν: ἀντὶ τοῦ ἐπεί. τὸ ἑξῆς, ὁπότε καὶ σὺ, κάρα κακὸν, τῶν ἀθίκτων λέκτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἡμῖν ἦλθες, ἅπερ, ἤτοι τὰ εἰρημένα, ἐγὼ ἀποκαθαρθήσομαι ῥευστικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα τῶν ἱσταμένων διαυγέστερα τυγχάνει.

2.656 654. εἰς ὦτα κλύζων: εἰσκλύζομαι τὰ ὦτα, δἰ ὧν μετέλαβον τῆς ἀνομίας τῶν λόγων. πῶς οὖν μέλλω ἐξαμαρτεῖν πεισθείς σοι; .

2.656 656. εὖ δ̓ ἴσθι τοὐμόν: οὐκ ἔστι φορτικὸς ὁ λόγος, ἀλλὰ μᾶλλον τῆς ὑποψίας τοῦ ἁμαρτήματος θεραπευτικός. ἢ τάχα προτραγῳδεῖ τὸ πάθος τοιοῦτον μικρὸν ὕστερον, ἐπὶ καταγνώσει μοιχείας ποιῶν κατηγορούμενον.

2.657 657. εἰ μὴ γὰρ ὅρκοις: ἀντὶ τοῦ εἰ ἐλήφθην καὶ εὑρέθην ἀπαραφύλακτος εἰς τὴν κατὰ σοῦ κόλασιν. τὸ δὲ μή καὶ οὐ μίαν κατάθεσιν ποιοῦσιν, ὥστε τὸ ἓν ἐξήρκει εἰπεῖν, ἵν̓ ᾖ οὐκ ἄν ποτε ἀπεσχόμην τοῦ εἰπεῖν.

2.659 659. νῦν δ̓ ἐκ δόμων μέν: ἤτοι διὰ τὸ μὴ μετασχεῖν τοῦ μίσους αὐτῆς, ἢ διὰ τὸ δεδοικέναι τινὰ ἐξ αὐτῶν ἐπιβουλήν. ἄλλως τε καὶ ὁ ποιητὴς οἰκονομικώτατα τοῦτο ἐξεργάζεται, διὰ τῆς τοῦ Ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ Φαίδρᾳ ἐργάσασθαι τὴν ἀγχόνην, καὶ τὴν διαβολὴν αὐτοῦ τὴν διὰ τῶν γραμμάτων, ἵνα ἡ δέλτος καὶ ἡ τοῦ Ἱππολύτου ἐρημία πιστώσηται τὴν κατηγορίαν τῆς μοιχείας.

2.661 661. θεάσομαι δέ: συνεπιστὰς δὲ τῷ πατρὶ θεάσομαι ποίοις ὄμμασιν αὐτὸν προσβλέψετε, ὑπὸ τῆς συνειδήσεως μὴ καταπληττόμεναι.

2.663 663. τῆς σῆς δέ: καὶ πάντως τότε τὸ ἀναιδές σου καὶ τολμηρὸν διαγνώσομαι, πεπειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων. B.I.

2.664 664. μισῶν δ̓ οὔποτ̓ ἐμπλησθήσομαι: οὐδαμῶς χορτασθήσομαι κακῶς λέγων τὰς γυναῖκας. ταῦτα δὲ λοιπὸν ὡς τεχνίτης ῥήτωρ. B.I.

2.665 665. οὐδ̓ εἴ φησι: οὐδ̓ ἄν μοι εἴπῃ τις τοῦτ̓ ἐπὶ ὀνείδισιν διὰ τὸ ἀεὶ αὐτὰς λέγειν κακάς. M. οὐδ̓ εἰ λέγοι μέ τις εἶναι κατὰ φύσιν φιλαπεχθήμονα πρὸς αὐτάς. οὐ γὰρ ἐκ παρέργου φησὶ τὰς κατηγορίας, τῷ συνεχεῖ δὲ τῶν πλημμελημάτων ὑπόθεσις γινόμεθα τοῖς κατηγόροις.

2.668 668. τάλανες: ἀπὸ κοινοῦ πάλιν ἀτυχήματος πειρᾶται παραμυθεῖσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος, τίνα νῦν ἢ τέχνην, ἢ λόγον 1. τοῦ εἰ A. εἰ om. B.I. ib ἄλλως τε καὶ ὁ π. om. A. ib. ἀπαραφύλακτος] ἀπεριφύλακτος 7. οἰκονομικώτατα A. οἰκονομικῶς.B.I. ib. τοῦ om. A. 2. τὸ μὴ καὶ οὐχὶ μ. κ. ποιεῖ est in 9. τῶν om. A. M. Et (ad ἐξειπεῖν κακά) γρ. τῷ πατρί. 10. τοῦ Ἱππολύτου post ἐρημία A. 3. ἐξήρκει] ποιεῖν ἢ add. Fl. 6. 15. 13. προσβλέψετε] προβλέψαιτο A. ib. ἵν̓ ᾖ— εἰπεῖν add. A.B. Fl. 6. 22. με] μέν A. 15., om. I. 23. αὐτάς] ἡμᾶς A. 5. μίσους] μύσους A.B. 24. γινόμεθα A. γίνονται B.I. 6. αὐτῆς Barnesius pro αὐταῖς. 27. δὲ om. A. ib. ἐπιβουλήν] ἐπιβουλίαν A. ib. τέχνην] ἢ τύχην addit I. ἔχομεν πορίσασθαι, δἰ οὗ δυνησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγκλημάτων ἀπολύσασθαι, τὸν δεθησόμενον καθ̓ ἡμῶν ὑπὸ τοῦ Ἱππολύτου, ὅταν ἔλθῃ ὁ Θησεύς.

2.670

Eulogikon public reading copy · View original HTML at eulogikon.org

670. τίνα νῦν: τουτέστι πῶς καθ̓ ἕκαστον δεσμὸν κατηγορίας ἀπολυσόμεθα τὰ ἐγκλήματα τοῦ Ἱππολύτου, σφαλεῖσαι τῆς ἐλπίδος, δἰ ἧς προσεδοκῶμεν πεῖσαι αὐτὸν ἐπὶ τὴν ἁμαρτίαν.

2.671 671. καθ̓ ἅμμα λύσειν: παρὰ τὴν παροιμίαν, ἥτις ἐστὶν, οὐχ ἅμμα λύσεις. εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας· τοῖς Φρυξὶ λόγος ἐδόθη ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας ὃς ἂν τῆς ἀπήνης λῦσαι τὸν δεσμὸν δυνηθείη, τῆς κομισάσης Μίδαν εἰς τρυγίαν, ὃς ἦν ἀμπέλινος, ᾧ συνεδέδετο ὁ ζυγὸς καὶ ὁ ῥυμός. λόγος δὲ Ἀλέξανδρον διαλῦσαι ἐξελόντα τὸν ἔμβολον, ᾧ κατείχετο ὁ ῥυμὸς, ἢ τῷ ἐγχειριδίῳ ἀποτεμόντα, μετὰ τὴν ἐπὶ Γρανίκῳ μάχην. γέγονε δὲ ὁ Ἀλέξανδρος κατὰ τοὺς Εὐριπίδου χρόνους. παροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δύσλυτόν τι ἐπιχειρούντων λῦσαι. Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδόνων ἱστοριῶν φησιν οὕτως· τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῷ ῥυμῷ προσδεδέσθαι κλήματι ἀμπελίνῳ. ἔστι δὲ λόγιον, ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ βασιλεύσει τῆς Ἀσίας. Ἀλέξανδρον δέ φασι τὸν Μακεδόνων βασιλέα λῦσαι αὐτόν· ὃς διαβὰς τὸν Ἄμμαντιν ἐπὶ Γρανίκῳ μάχην ἐνίκησε, καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ, ποῦ κατέκειτο, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ διακόψαι αὐτὸν τὸν δεσμὸν, καὶ ταύτην εἶναι τὴν λύσιν, οἱ δὲ, ὡς τὸν ἔμβολον ἐξέλοι, συνείχετο ὁ ζυγὸς πρὸς 8. λύσεις Barnesius. λύσις libri. τὴν ἐπὶ Γρανίκῳ μάχην MATTH. Apud paroemiographos et Hesychium 14. δύσλυτον] δυσλύτων I. κάθαμμα λύεις. 15. λῦσαι A. λύσειν B. λύσιν I. 9. βασιλεύειν A.B. unde βασιλεύσειν 17. προσδεδέσθαι] δεδέσθαι I. correxi. βασιλεῦσαι I. Scholii ib. κλήματι] καὶ κλήματι A. similis brevioris vestigia in M. relicta . . . ib. δὲ om. A. φρυξὶ χρηστήριον . . . ἀσίας ὃς ἂν 18. λύσῃ B. λύσει A.I. τῆς. . . δεσμὸν λῦσαι δυνηθείη . . . σάσης. . . 19. φασι] φησι A. ib. τὸν δεσμὸν post δυνηθείη A. ib. τὸν] τῶν A. 13. γέγονε δὲ—] Mihi haec verba ib. τὸν ἄμμαντιν A. corrupte. τινὰ a seriore grammatico inserta esse μάντιν B. Fl. 6. 15. I. τὸν Ἑλλήσποντον videntur, qui, ut explicaret quomodo Barnesius. proverbium hoc ab Eurip. 21. ποῦ κατέκειτο A.B.I. ὅπου ἔκειτο indicari potuerit, ab Alexandro vetustiore Fl. 6. 15. illo, qui pugnae Plataeensi 22. διακόψαι] κόψαι I. interfuit, ductum esse sibi persuasisset, ib. τὸν δεσμὸν] τῷ δεσμῷ A. non cogitans hujus non esse 23. ὁ ζυγὸς] ὁ δεσμὸς τὸν ζυγὸν A. τῷ ῥυμῷ, περιειλημμένον δὲ εἶναι καὶ τοῦτο κλήματος. τούτου δὲ ἐξαιρεθέντος καὶ τοῦ δεσμοῦ χαλάσαντος, οὕτως λυθῆναι τὸν δεσμὸν τοῦ ῥυμοῦ.

2.673 672. ἐτύχομεν δίκας: μετάγεται πάλιν ἡ σκηνὴ εἰς θάτερον μέρος, τουτέστιν ἐπὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καὶ τὴν τοῦ χοροῦ συμπάθειαν, τραγικώτατα εἰς ἄλλον οἶκτον μετιόντος πάλιν τοῦ ποιητοῦ. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς μιμεῖται αὐτὸ τὸ πάθος διεξιὼν, ὅπερ εἰώθασι πολλάκις ποιεῖν οἱ ἀξίων ἀποροῦντες θρήνων. δικαίως, φησὶν, ἐτιμωρήθημεν, καὶ τῆς ἀξίας δίκης παρὰ θεοῦ ἐτύχομεν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται, ὡς ἀναιτιώτατα στοιχεῖα, καθὼς καὶ ἄνω φησὶν “ὦ γαῖα μῆτερ, ἡλίου τ᾽ἀναπτυχαί.” .

2.673 673. ἐξαλύξω: πότε ἐκφύγω τὰς δυστυχίας. τὸ δὲ κομματικὸν τῆς διανοίας ἐκτόπως ὑπέγραψε τὴν ἀπορίαν τῆς συμφορᾶς. B.

2.675 675. ἀρωγός: φανείη δηλονότι. τοῦτο γὰρ ἀπὸ κοινοῦ. B.

2.678 678. παρὸν δυσεκπέρατον: ἢ ἐν ὑπερβατῷ, ἵν᾽ ᾖ οὕτως· τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστιν. ἢ οὕτως· τὸ γὰρ νῦν πάθος παρὸν παντὸς τοῦ βίου καὶ τῶν ἐν αὐτῷ δυσφοριῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως· τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον, καὶ δυσχερῶς ἂν αὐτὸ φύγοιμι. δυσεκπέρατον: δυσμεταχείριστον. Fl. 2. δύσκολον A.

2.680 680. φεῦ φεῦ: προϊούσης τῆς τροφοῦ κατηφοῦς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος, καὶ ἐπὶ τοῦ πέπρακται δεῖ στίζειν. οὕτω γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ “κοὐ κατώρθωται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέχνη," ἀντὶ τοῦ οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς δούλης, ἀλλὰ καὶ κατέστρεψαν.

2.683 683. Ζεύς σ' ὁ γεννήτωρ: Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε, φησὶν, ἐκριζώσειε καὶ παντελῶς ἀπολέσειεν, οὐτάσας πυρὶ, ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ σύνεγγυς τρῶσαι, βαλεῖν δὲ τὸ πόρρωθεν.

2.687 685. οὐκ εἶπον—σιγᾶν: ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως· οὐκ εἶπον σιγᾶν ἐφ' οἷς κακῶς διάκειμαι, ἢ διάγω καὶ νοσηλεύομαι τουτέστι τὸν ἔρωτα. ὁ δὲ νοῦς, οὐχὶ τὸ προπετὲς τῆς διανοίας προνοουμένη ἐκέλευον σιωπᾶν καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν; .

2.687 687. τοιγὰρ οὐκ ἔτ' εὐκλεεῖς: διὰ τοῦτο γὰρ οὐκ εὔδοξοι γεγόναμεν, ἐπειδὴ οὐκ ἤκουσάς μου. Β.

2.689 689. συντεθηγμένος φρένας: ἀντὶ τοῦ ὀργισθείς. Μ. ἠκονημένος ὑπὸ τῆς ὀργῆς. Μ.

2.693 693. ὄλοιο καὶ σύ: γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο, φησὶ, παρὰ γνώμην μου εὐεργετῆσαί με θελήσασα, καὶ πᾶς ἄλλος ταὐτά σοι δρῶν καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργετεῖν. ἄντικρυς δὲ ἐλέγχων τὸ ψευδώνυμον τῆς τοιαύτης εὐεργεσίας μὴ καλῶς προσέθηκεν." οὐ γὰρ οἶδε φύσις εὐεργετήματος ἀνάγκην ἐπιδέχεσθαι, εἴτε τὰς χρείας καταθυμίους δεῖ ποιεῖσθαι.

2.695 695. δέσποιν', ἔχεις μέν: καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν, ἵνα οὕτως καὶ αὕτη τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξηται. ἑξῆς δὲ πάλιν εἰς εὔνοιαν αὐτὴν προάγειν βούλεται, τὸν σκοπὸν τῆς μηνύσεως, καθ' ὃν γεγένηται, λέγουσα. τὸ δὲ ἑξῆς οὕτως· ἔχεις μὲν δικαίως τὰ ἐμὰ πταίσματα μέμψασθαι. παραιρεῖται γάρ σου τὸ 1. Ζεύς σ' ὁ—ἀπολέσειεν om. A. 17. ἄντικρυς] ἄντικρυ A. 2. ἐκριζώσειε B. Fl.6.15. ἐκτρίψειε I. ib. δὲ om. I. 3. τῷ κεραυνῷ et δὲ om. A. ib. ἐλέγχων τὸ ψ. om. A. in lacuna. 4. ἐκ χειρὸς καὶ om. A. Est observatio 18. προσέθηκεν] ἐμοὶ δὲ καὶ ἐξ εὐεργετήματοις Aristarchi: vid. Lehrs. de ἂν οὐκ ἔστι addit A. Arist. p. 62. ib. οὐ γὰρ—ἀνάγκην om. A. 5. σύνεγγυς] ἐγγὺς A. 19. ἐπιδέχεσθαι] δέχεσθαι A. ib. βαλεῖν δὲ τὸ πόρρωθεν om. A. ib. θυμίους δεῖ ποιεῖσθαι om. A. in 7. διάκειμαι, ἢ (ἤτοι B.) om. A. lacuna. 9. ἐκφαίνειν] ἐμφαίνειν A. 21. καὶ αὕτη om. A. 15. θελήσασα] θέλουσα A. 22. εὔνοιαν] ἔννοιαν B.I. 16. ἄλλος] ἄλλως I. 23. γεγένηται] γένηται A. γεννᾶται ib. ταὐτά Barnesiu pro ταῦτα. Fl. 6. γε γίνεται Fl. 15. ib. δρῶν] ὃ οὖν A. ib. δὲ om. A. ib. ἄκοντας] ἄκων γὰρ A. 24. παραιρεῖται A. παραιτεῖται B.I. λογιστικὸν ἡ λύπη, καὶ τὴν αἰτίαν τοῦ πταίσματος γινώσκειν οὐ σνγχωρεῖ σοι. αἰτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς· ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακὰ, ὦ δέσποινα· τὸ γὰρ λυποῦν σε κρατεῖ, ὅθεν καὶ μέμφῃ μοι. εἰ γὰρ μὴ ἐγένετο, οὐκ ἂν ἐμέμφου, ἀλλ' ἐπῄνεις. ὅθεν ἐπιφέρει "πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα." ἡ μὲν κατασκευὴ τοῦ λογισμοῦ τῆς εὐνοίας ἀπόδειξις, ἡ δὲ τῆς ἀποτυχίας δυσχέρεια τῆς τύχης κατηγόρημα.

2.700 700. εἰ δ' εὖ γ' ἔπραξα: εἰ καλῶς, φησὶν, ἔπραξα καὶ μὴ ἐσφάλην τῆς ἐλπίδος, ἐθαυμάζετό μου τὸ βούλευμα. οὐκ ἄρα ἡ ἐμή σε βουλὴ ἠδίκησεν, ἀλλ' ἡ τύχη· εἰ γὰρ καλῶς ἀπέβη τὸ πρᾶγμα, ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων τῆς τροφοῦ.

2.702 702. ἦ γὰρ δίκαια ταῦτα: ὀργίζεται καλῶς ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν, φησὶ, δίκαιόν ἐστι τοῦτο καὶ οὐχὶ φανερῶς ἄτοπον, τὸ καὶ ἐθέλειν σε ἰσολογεῖν μοι, καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν τρώσασάν με· ἐξαρκοῦντα δέ μοί ἐστιν, ἤγουν ἱκανὰ πρὸς θεραπείαν τῆς βλάβης.

2.704 704. μακρηγοροῦμεν: ἀντὶ τοῦ μάτην φλυαροῦμεν καὶ ἐπεκτείνομεν τὸν λόγον ἐπὶ τοῖς ἤδη πραχθεῖσιν. οὐκ ἐσωφρόνουν ἐγώ. ὁμολογεῖ ἡμαρτηκέναι, ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν. ὁμολογῶ, φησὶ, τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης, ἀλλ' ἐξ ἐμῆς ἀνοίας γεγενημένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.710 710. ὑμεῖς δὲ, παῖδες: μεταστρέφει τὸν λόγον νῦν πρὸς τὰς γυναῖκας τοῦ χοροῦ. αἱ δὲ ὀμνύουσιν οἰκονομικῶς καὶ σιωπᾶν ἐπαγγέλλονται. λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως.

2.715 715. ἓν δὲ προτρέπουσα: ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα. 1. γινώσκειν] γιγνώσκειν A. 13. 14. οὖν et τὸ om. A. 2. νοῦς A. νοῦς ἔχει οὕτως B.I. 15. ἤγουν addidi ex A. 3. μὲν] δέσποινα A., omisso proximo 17. ἀντὶ τοῦ om. A. ὦ δέσποινα. 19. ἡμαρτηκέναι] τὸ ἁμάρτημα A. 4. καὶ om. A.B., ἂν om. A. 20 τὸ om. A. 5. γὰρ] καὶ A. 21. γεγενημένον A. γενόμενον B.I. 6. εὐνοίας] ἐννοίας B.I. 22. μεταστρέφει τὸν λόγον νῦν A. 8. ἔπραξα hic et in lemmate μεταστρέφεται νῦν B.I. A.B. Fl. 6. ἔπραττον utrobique I. 23. αἱ δὲ ὀμνύουσιν] Pro his lemma 9. βούλευμα A. βούλημα B.I. ὄμνυμι σεμνήν habet A. 11. ἂν et ἄλλη et τῆς om. A. ib. καὶ σιωπᾶν ἐπαγγέλλονται] ὁ ib. κρείττων] κρεῖττον A. χορὸς ἐπαγγέλλεται A. 12. ὀργιζεται—τῷ] ὁρίζεται—τὸ A. 25. ἀντὶ τοῦ et καὶ ἐξερευνῶσα 13. 14. ἐθέλειν] θέλειν A. om. A. μετατρέπουσα, φησὶ, καὶ πολλὰ δοκιμάζουσα, καὶ εἰς πολλὰ μεταφέρουσά μου τὴν γνώμην, ἓν μόνον ἴαμα τῆς συμφορᾶς εὗρον.

2.719 719. οὐ γάρ ποτ᾽αἰσχυνῶ: ὅτι Μίνως βασιλεὺς τῶν Κρητῶν ἐγένετο, ὁ πατὴρ αὐτῆς. καὶ διὰ τοῦτο Κρησίους δόμους λέγει.

2.721 721. οὕνεκα ψυχῆς μιᾶς: ἀντὶ τοῦ διασταλτικοῦ τὸ μιᾶς εἶπε. A. ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα πολλὰς ἑτέρας διασώσω, τὰς τῶν οἰκείων δηλονότι, ῥυσαμένη τῆς αἰσχύνης. οὐχ ὑπερτιμήσω οὖν τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν.

2.724 724. καὶ σύ γ᾽ εὖ με νουθέτει: ἀπειλητικώτερον εἴρηται ὁ λόγος, ὡς εἰ ἔλεγε, μὴ καὶ σὺ ζήλου τῆς τροφοῦ τὴν παραίνεσιν μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με, ἅ ἐστιν ἐπιζήμια καὶ φαῦλα, ἀλλὰ πρὸς τὸ συμφέρον με νουθέτει.

2.728 728. ἀτὰρ κακόν γε: καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ, ἀντὶ τοῦ τῷ Ἱππολύτῳ, διὰ τῆς κατηγορίας, ἵν᾽εἰδῇ, κοινῇ ταύτης μοι μετασχὼν τῆς νόσου, μετριάζειν, καὶ μὴ ὑψηλοφρονεῖν ἐπὶ ταῖς ἑτέρων δυστυχίαις.

2.732 732. ἠλιβάτοις: ἀντὶ τοῦ βαθυτάτοις. ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλὸν, ἀλλὰ καὶ τὸ βαθὺ, οὗ ἔστιν ἀλιτεῖν τῆς βάσεως. κευθμῶσι δὲ τοῖς ἐρήμοις καὶ κεκρυμμένοις τόποις, καὶ πάσης συντυχίας ἀνθρώπων χωρίς. τὸ ἑξῆς οὖν οὕτως· πτεροῦσσάν με ὄρνιν θείη θεὸς, ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι, καὶ πλεῖστον ἄποπτος εἴην τοῦ ἀνθρωπίνου γένους. ἀφανισμὸν δὲ καὶ μεταβολὴν τῆς φύσεως ἐπεύχεται ἑαυτῷ ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ, ἤτοι πρὸς τὸ ἄπειρος 1. μεταφέρουσα] μετατρέπουσα A. ib. τὸ ἑξῆς—ἀνθρωπίνουγένους, om. A. 3. τῶν κ. ἐγένετο] ἐγένετο τῶν κ. ib. πτεροῦσσαν—] Similehis scholion in A. (cum lemmate ἵνα με πτεροῦσσαν 4. ὁ om. A. ὄρνιν) πτεροῦσαν μὲν ὄρνιν θείη— 8. ὑπερτιμήσω] ὑπὲρ τιμῆς I. ἄποπτος εἴην ἀνθρωπίνου (sine τοῦ) γένους. 10. τῆς τροφοῦ τὴν παραίνεσιν A. ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ ἀφανισμὸν τὴν τροφὸν τῆς παραινέσεως B.1. καὶ μεταβολὴν τῆς φύσεως ἑαυτοῦ 11. ἐκείνῃ A.B. ἐκείνη 1. κατεύχεται, ἵνα ἄπειρος τῆς ἐφεξῆς μείνῃ 12. συμφέρον A.B. χρηστὸν εὖ I. συμφορᾶς. ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι 13. καὶ ἄλλῳ] καὶ om. A. τῇ φαίδρᾳ τῆς κατὰ ἱππολύτου 14. διὰ τῆς κατηγορίας om. A. διαβολῆς καὶ μέλλει τηλικαύτην ἁμαρτίαν 16. ἐπὶ om. I. εἰς ἑαυτὸν ἐπισπᾶσθαι. πρὶν οὖν 18. οὗ ἔστιν ἀλιτεῖν om. A. ἐπιστῆναι αὐτῷ τὸν καιρὸν ἀπαλλαγῆναι 19. τοῖς et καὶ utrumque om. A. τῆς φύσεως ἐπεύχεται. πρὸς τὸν ἀδρίαν ib. κ. τόποις] τόποις κ. A. δὲ καὶ τὴν κελτικὴν etc. 20. ἀνθρώπων] ἀνθρώπου A. 21. ἄποπτος] ἄπτωοτος (sic) I. γενέσθαι τῶν ἐπικαταληψομένων συμφορῶν, ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῇ Φαίδρᾳ, εἰς τὴν κατὰ τοῦ Ἱππολύτου διαβολὴν, καὶ τηλικαύτην ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ᾽αὐτοῦ. πρὶν οὖν ἐκεῖνον ἐπιστῆναι αὐτῷ τὸν καιρὸν, ἀπαλλαγῆναι τῆς φύσεως ἐπεύχεται. ἢ ὅπερ ἄμεινον, καταγνοῦσα τῆς ἀνθρωπίνης φύσεως, καὶ διὰ τῶν παρόντων κακῶν ἄριστα παιδευθεῖσα, ὄρνις εὔχεται εἶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὸ μηδὲ συντυχίας ἢ θέας ἀπολαύειν ἀνθρώπων. τοῦτο γὰρ τὸ ζῷον καθαρώτατόν ἐστι παρὰ πάντα· διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται. καὶ τῇ πτήσει μᾶλλον τῶν ἄλλων ζώων ἐκτοπίζεσθαι τῶν ἀνθρώπων δύναται, ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπου ἐπιστάντος ἀνίπτασθαι καὶ νικᾶν τῇ πτήσει τὴν τούτου θέαν. πρὸς τὸν Ἀδρίαν δὲ καὶ τὴν Κελτικὴν ἀρθῆναι εὔχεται οἰκείως τοῖς πεπραγμένοις, καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναδεξαμένων. ἐν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ εἰς βοῦν μεταβληθεῖσα κατὰ βούλησιν Ἥρας διεπέρασε τὸ ἀπ᾽ αὐτῆς Ἰόνιον πέλαγος κληθέν· ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες κόραι τὸν Φαέθοντα δακρύουσαι εἰς φηγοὺς μετεβλήθησαν.

2.735 735. γενοίμην, φησὶν, ὄρνις, εἰ ἦν δυνατὸν καὶ πελάγη διίπτασθαι, καὶ ἀρθείην καὶ μετεωρισθείην ἐπὶ τὸ θαλάττιον κῦμα τῆς Ἀδρίου ἀκτῆς καὶ ἐπὶ τὸ τοῦ Ἠριδανοῦ ὕδωρ. Μ. αὐτὸν τὸν Ἠριδανόν φησιν· αἱ γὰρ αἴγειροι ἐν αὐτῷ τρέφονται. Μ.

2.736 736. κῦμα τᾶς Ἀδρινᾶς: τὸ πόντιον κῦμα ἀντιδιασταλτικόν ἐστι τοῦ ῥεύματος τοῦ Ἠριδανοῦ. ὁ δὲ Ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ Ἰταλίᾳ. ὁ δὲ Ἠριδανὸς ποταμὸς Κελτικῆς. ἐν τούτοις δὲ ἄρα εὔχεται μάλιστα τοῖς τόποις εἶναι, ὡς πειραθεῖσι συμφορῶν· 1. συμφορῶν] ἢ πρὸς τὸ μὴ ἀναγκασθῆναι 14. κατὰ A. B. Fl. 6. 15. διὰ I. ψευδομαρτυρεῖν κατὰ ἱππολύτου 15. ἐν δὲ—δακρύουσαι] ἐν δὲ τῷ ἠριδανῷ addit A. αἱ (αἱ om. A.) ἡλιάδες κόραι τὸν ib. ἢ ἐπειδὴ—φύσεως εὔχεται om. A. φαέθοντα δακρύουσαι A. (nisi quod 2. εἰς om. I. δακρύουσι habet quia pergit μεταβληθεῦσαι 5. ἐπεύχεται B. Fl. 6. 15. εὔχεται εἰς δένδρα) et qui δακρύουσαι I. ante τὸν φαέθοντα collocat B. αἱ δὲ 6. καὶ διὰ] καὶ ταῦτα διὰ A. ἡλιάδες κόραι ἐν ἠριδανῷ δακρύουσαι τὸν 7. εὔχεται] ἐπεύχεται A. φαέθοντα I. 8. ἐστι om. A. 20. τοῦ Ἠριδανοῦ] τοῦ om. A. 11. πτήσει] φύσει I. 24. κελτικῆς B. Fl. 6. 15. κελτικὸς ib. τούτου] τούτων A. A. I. 12. οἰκείως A. οἰκείοις B. I. 25. πειραθεῖσι] πειραθεῖσα A. (ὁ μὲν γὰρ Ἀδρίας συνέπαθε τῇ βοΐ, ὁ δὲ Ἠριδανὸς τῷ Φαέθοντι·) ὅπως ἂν πρόφασιν ἔχουσα τὸν τόπον ἀκαταπαύστως θρηνοίη τοὺς ἀνθρώπους. ἤ, ὅπερ ἄμεινον, εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους γενέσθαι, οἵτινες μάλιστα πεῖραν μετεμψυχώσεως ἐδέξαντο. ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ ἐπλανήθη εἰς βοῦν μεταμορφωθεῖσα, ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες εἰς αἰγείρους μετεβλήθησαν.

2.738 738. ἔνθα πορφύρεον: εἰς πορφυροῦν οἶδμα τοῦ Ἠριδανοῦ αἱ τοῦ πατρὸς Ἡλίου ἄθλιαι κόραι Ἡλιάδες τῷ οἴκτῳ καὶ θρήνῳ τοῦ Φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι, δακρύουσι τοῦτο τὸ δάκρυον, ὅπερ πηγνύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος ἀποτελεῖ τὸν ἤλεκτρον. πατέρα δὲ αὐτῶν τὸν Ἠριδανόν φησι, παρόσον τρέφονται αὐτοῦ τῷ ὕδατι αἴγειροι οὖσαι.

2.740 740. κόραι Φαέθοντος: Ἡλίου γὰρ βούλεται αὐτὰς ὁ μῦθος εἶναι. διὰ τὸ καὶ τὸ δάκρυον αὐτῶν φωτεινοειδὲς λέγεσθαι εἶναι ἤλεκτρον ὀνομαζόμενον ἐπεὶ καὶ ἠλέκτωρ ὁ Ἥλιος καλεῖται.

2.742 742. Ἑσπερίδων: ἔνθα τὰ χρύσεα μῆλα ἐσπάρησαν. Φερεκύδης δὲ Διὸς καὶ Θέμιδός φησιν αὐτὰς, ἔνιοι δὲ τὰς αὐτὰς ταῖς Ἀτλαντίσιν. Ἑσπερίδες δὲ ὀνομάζονται διὰ τὸ ἐν τῇ ἑσπέρᾳ, τουτέστιν ἐν τῇ δύσει, κεῖσθαι. ὁ δὲ λόγος, ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τῶν Ἑσπερίδων νυμφῶν τῶν ἀοιδῶν, ἔνθα εἰσὶ χρυσᾶ μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις καὶ ἐνταῦθα εὔχεται γενέσθαι, ἐπειδὴ καὶ αὗται νῦν ἐν θρήνοις εἰσὶ, θρηνοῦσαι τὸν δράκοντα τὸν μηλοφύλακα. τὸν νεωστὶ ὑφ᾽Ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ καὶ ἀοιδοὺς αὐτὰς λέγει διὰ τὸ ἐν θρήνοις εἶναι.

2.743 743. τᾶν ἀοιδᾶν: τῶν ἀδουσῶν, τῶν θρηνωδῶν. A.

2.746 744. ἵν᾽ὁ ποντομέδων: ὅπου ὁ Ποσειδῶν οὐκέτι δίδωσι τοῖς ναύταις διέξοδον πρὸς τὸ ἐγγίζειν εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐρανοῦ τὸν ὠκεανόν φησιν, εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποτερματίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων,

ἔνθα ὁ Ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐκέτι δίδωσιν, καθάπερ καὶ Πίνδαρος “Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν.” .

2.746 746. ναίων: γρ. κυρῶν. A. πληρῶν. B. rec.

2.747 747. τὸν Ἄτλας ἔχει: τὸν Ἄτλαντα οἱ μὲν ὄρος εἰρήκασι, μυθευόμενοι τὸν οὐρανὸν βαστάζειν, ἐπειδὴ πάνυ ὑψηλὸν ὑπάρχει καὶ δοκεῖ ἐπικεῖσθαι αὐτῷ ὁ οὐρανός· ὅθεν καὶ Ἄτλας εἴρηται διὰ τὸ ἄτλητον ποιῆσαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ Ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ, δἰ οὗ ἡ τοῦ παντὸς κίνησις γίνεται. δηλοῖ δὲ καὶ τὸ Ὁμηρικὸν “ἔχει δέ τε κίονας αὐτὸς μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι.” εἰρῆσθαι δὲ Ἄτλαντα οἱονεὶ πολύτλαντα, διὰ τὸ αὐτὸν πάντα βαστάζειν.

2.748 748. κρῆναί τ᾽ἀμβρόσιαι: αἱ τοῦ νέκταρος κρῆναι, καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖσε φύονται. Ἄλλως. ὑποτίθεται τὴν τῶν Φαιάκων γῆν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος καὶ ἐκ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ τὸν σῖτον καὶ τὰ ἄλλα κάρπιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς· καὶ ἔλθοιμι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅθεν ἐκ τῶν κοιτῶν τῶν οἴκων τοῦ Διὸς χέονται αἱ πηγαὶ αἱ τὸ ζῆν τοῖς θεοῖς δωρούμεναι.

2.750 750. ἵν᾽ὀλβιόδωρος αὔξει πρὸς τῷ πυρίνῳ κύκλῳ καὶ τῇ τοῦ πυρός. ἑτέραν γὰρ ἐμύθευσαν εἶναι γῆν, ἐν πλεῖστα καὶ θαυμαστὰ φύονται· ἐν ταύτῃ γὰρ τὸ Ἠλύσιον πεδίον καὶ τῶν Φαιάκων 7. πρὸς τὸ ἐγγίζειν A. προσεγγίζειν 14. καὶ τὸ ὁμηρικὸν (Od. 1, 53.) B. καὶ ὅμηρος I. τοῦ ὁμήρου λέγοντος 6. οὐκέτι δίδωσιν A. οὐ δίδωσιν ἔτι A. 15. δὲ om. A. ib. καθάπερ A. καθὰ B.I. 16. πολύτλαντα A. πολύτλαν B.I. ib. Πίνδαρος] Nem. 4, 112. 21. τοῦ ἐνιαυτοῦ] τὸν ἐνιαυτὸν A. 8. κυρῶν] Imo κύρων. In B. κυρῶν 23. αἱ πηγαὶ] αἱ om. A. super ναίων, et τιθείς super κυρῶν. 26. γῆν] τὴν A. 9. Ἄτλαντα] ἄτλαν A. ib. ἐν ᾗ πλεῖστα—ἐμύθευσαν εἶναι 10. ἐπειδὴ] ἐπεὶ A. et mox καὶ τοῦ ἐπικειμένου πυρὸς om. I. 12. ποιῆσαι A. ποιήσασθαι B.I. 27. γὰρ] γὰρ καὶ A. τὴν γῆν ἐμύθευσαν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμασίας καὶ τοῦ ἐπικειμένου πυρὸς τρίτον τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ κάρπιμα φύεσθαι καὶ τὸ νέκταρ. φησὶ γοῦν κρήνας μὲν ἀμβροσίας τὰς τοῦ νέκταρος, εὐδαιμονίαν δὲ τὴν ἀμβροσίαν καὶ ἀφθαρσίαν.

2.752 752. ὦ λευκόπτερε Κρησία: ὦ λευκὰ πτερὰ, ὅ ἐστιν ἄρμενα, ἔχουσα Κρητικὴ ναῦ, ἥτις κατὰ τὸ κῦμα τῆς θαλάσσης τὴν δέσποινάν μου Φαίδραν ἐκόμισας νυμφευθεῖσαν Θησεῖ. A.B. ἑτέρα μοῖρα χορικὴ, ἢ δὴ καὶ τὰ παρόντα θρηνεῖ ἄνωθεν ἐκ τῆς ἐπιδημίας ὀλοφυρομένη τὴν Φαίδραν. σύ μοι, φησὶ, προοίμιον τῶν θρήνων, ὦ πορθμὶς, ἐπεὶ καὶ τῶν συμφορῶν ὑπόθεσις γεγένησαι.

2.753 753. διὰ πόντιον: ἡ διά ἀντὶ τῆς κατά. A.B.

2.758 758. κακονυμφοτάταν: νυμφευσαμένη τῷ Θησεῖ νύμφευσιν ἀνόνητον, τουτέστιν εἰς τὴν κακὴν ὠφέλειαν τοῦ γάμου, εἰς ἀπόλαυσιν κακῶν. A.B.

2.759 759. ἢ γὰρ ἀπ᾽ ἀμφοτέρων: ὄντως γὰρ ἀπὸ τῶν δύο, ἀπό τε τῆς Κρήτης καὶ τῆς Ἀττικῆς, κακὰ σημεῖα ἐφάνησαν αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἀκούουσιν ἔκ τε τοῦ πατρὸς καὶ τῆς μητρὸς, ἵν᾽ᾖ οὕτως· ἐπὶ κακοῖς γὰρ σημείοις ἐκδοθεῖσα ὑπὸ τῶν γονέων ἦλθες εἰς Ἀττικὴν ἀπὸ τῆς Κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἰς τὸ ἔπτατο ἀνῆλθεν. Μουνύχιος δὲ λιμὴν Ἀττικῆς. ὁπηνίκα δὲ, φησὶν, ἐν τῷ Μουνυχίῳ λιμένι παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων καὶ ἔδησαν ἐν αὐτῷ καὶ ἐξέβησαν ἐν τῇ γῇ, τὸ τηνικαῦτα ἡ Ἀφροδίτη κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ.

2.763 763. ἐπ᾽ ἀπείρου τε γᾶς: κυκλοτεροῦς. A.

2.764 764. ἀνθ᾽ ὧν: ἀντὶ τοῦ ἀφ᾽ὧν. ὁ δὲ νοῦς, ἀφ᾽ὧν τῶν κακοσήμων οἰωνῶν ὑπὸ ἀδίκων ἐρώτων Ἀφροδίτης δεινῇ νόσῳ φρένας κατεκλάσθη. A.B.

2.767

Eulogikon public reading copy · View original HTML at eulogikon.org

767. ὑπέραντλος: ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηὶ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων. ἀδυνατοῦσα, φησὶ, πρὸς τὴν συμφορὰν, καὶ ὑπερβαρῆ νοσήσασα νόσον τὴν ἀγχόνην ἐβουλεύσατο.

2.770 770. ἅψεται ἀμφὶ βρόχον: ἡ ἀμφί πρὸς τὸ ἅψεται ἀντὶ τοῦ περιάψεται. A.

2.774 774. ἀπαλλάσσουσα: ἀντιλαμβανομένη. A.

2.776 776. ἰοὺ ἰού: τινὲς βούλονται τὴν τροφὸν ταῦτα ἔσωθεν λέγειν. ἔνιοι δὲ ἐξάγγελον φασί. ἐξάγγελος δὲ ὁ τὰ πεπραγμένα ἔνδον τῆς σκηνῆς τῷ χορῷ ἀγγέλλων. βοηδρομεῖν δέ ἐστι τὸ μετὰ βοῆς τρέχειν, ἵνα διὰ τῆς βοῆς καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσι.

2.780 780. ἀμφιδέξιον σίδηρον: ἀντὶ τοῦ δίστομον, ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκουν γὰρ μετέχειν τοῦ μιάσματος ὅσοι μὴ ἔκοπτον τὰς ἀγχόνας τῶν ἠγχονισμένων. ἅμμα δὲ δεσμὸς σχοινίων. καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων.

2.785 785. τὸ πολλὰ πράττειν: οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐκβαλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα.

2.786 786. ὀρθώσατ᾽: ἀπορθώσατε, φησὶν, αὐτῆς τὰ μέλη, καὶ κατ᾽ὀρθὸν σχηματίσατε τὸν νεκρὸν, τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν, ὅ ἐστι τὸν ἀτυχῆ οἰκουρόν.

2.787 787. οἰκούρημα: οἰκουρὸς λέγεται ἡ γυνή. M.

2.790 790. γυναῖκες, ἴστε τίς: τὸ ἑξῆς, ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο. ἴστε, τίς ποτ᾽ἐν δόμοις βοή: ἴστε, φησὶ, τίς ἡ βοὴ ἡ ἐν τοῖς οἴκοις, ὁ γυναῖκες; ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο.

2.792 792. οὐ γάρ τί μ᾽ὡς θεωρόν: ἀντὶ τοῦ ἀπὸ μαντείας. ἔθος γὰρ 1. Hoc scholion est etiam in M. ib. μετὰ βοῆς τρέχετε—ἐπικουρίαν sed partim obliteratum. Ante ἀδυνατοῦσα καλῶσιν est in M. addit ἀντὶ τοῦ ὑπερβολῆνοσοῦσα. 11. ἀμφιδέξιον—ᾧ ἄν] ἀμφιδέξιος 3. ὑπερβαρῆ] ὑπερβαρεῖ A. βαρέως δίστομος, οἷον A. Est hoc scholion in M. sed literis evanidis. στ΄ib. νόσον add. M. 12. δεξιῶς χρήσαιτο] χρη δεξιῶς A. 7. τὴν τ. ταῦτα A. ταῦτα τὴν τ. 13. ἅμμα—δεδεμένων βρόχων om. ib. ἔσωθεν (ἔξωθεν I.) post λέγειν 14. σχοινίων] σχοινίον B. 19. Post σχηματίσατε A. pergit, A. 8. ἐξάγγελον A. ἐξαγγέλων B. ἐξ πικρὸν τόδ᾽ οἰκούρημα: πικρὸν οἰκούρημα τῶν etc. ἀγγέλων I. 9. βοηδρομεῖν] βοηδρομεῖτε (lemma) 22. ἠχὼ] γυναῖκες, ἠχὼ A. A., omisso δέ. εἶχον οἱ ἀρχαῖοι τοῦτο, ὅτε ἤρχοντο ἀπὸ μαντείας, ἐστεφανωμένοι ἤρχοντο, καὶ πάντες τοῦ οἴκου προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς· οὐκέτι μοι ὡς θεωρῷ προσφθέγγεται ὁ οἶκός μου ἀγαθὰ, ἀλλὰ φαῦλα· οὐ γὰρ ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν, ἀλλ᾽ ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωροὶ δὲ καλοῦνται πάντες οἱ ἐκ θεοῦ στελλόμενοι, ἢ ὕστερον ὑποστρέφοντες.

2.795 795. πρόσω μὲν ἤδη: οἷον πόρρω, μακρὸς, ἀντὶ τοῦ προβέβηκε τῇ ἡλικίᾳ, ἀντὶ τοῦ γέρων μὲν ἤδη ἐστὶν, ἀλλ᾽ ὅμως λυπηρὸς ἡμῖν γενήσεται ἀποθανών.

2.799 799. μή τι συλᾶται: μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται; ἀντὶ τοῦ ἀπέθανον.

2.803 803. λύπῃ παχνωθεῖσα: ἀντὶ τοῦ κακωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν φθαρτική ἐστιν ἡ πάχνη. οἰκονομικῶς δὲ ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός.

2.806 806. ἀνέστεμμαι κάρα: ἔθος γὰρ ἦν τοὺς ἐξ ἱεροῦ στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις.

2.808 808. χαλᾶτε κλῇθρα: ἀντὶ τοῦ ἀνοίγετε τὰς θύρας.

2.809 809. ἁρμούς: γρ. καὶ ὅρμους ἀντὶ τοῦ δεσμούς. B.

2.812 812. ἔπαθες, εἰργάσω: πέπονθας τὸ τῆς ἀγχόνης κακὸν, εἰργάσω εἰς ἑαυτὴν τὸν δἰ ἀγχόνης θάνατον. τὸ δὲ αἶ αἶ τόλμας διὰ μέσου ἀναπεφώνηται, καὶ οὕτως τὸ ἑξῆς ἵσταται.

2.815

Eulogikon public reading copy · View original HTML at eulogikon.org

815. πάλαισμα μελέας: τὸ παράπτωμα τῆς ἀγχόνης, ἀπὸ μεταφορᾶς τῶν παλαιόντων, οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ παλαίοντες. A.B.I. Ἄλλως. ὦ πάλαισμα καὶ κατάπτωμα τῆς σῆς ἀθλίας χειρός.

2.816 816. τίς ἄρα: λείπει τὸ δαιμόνων· τίς ἄρα δαιμόνων ἀμαυροῖ, ἤτοι ἀφανῆ καθιστᾷ, τὴν σὴν ζωήν.

2.820 820. κηλὶς ἄφραστος: ῥυπαρία μελαίνουσα, αἰσχύνη. ἄφραστος δὲ ἀντὶ τοῦ ἀπροόρατος, ἀδόκητος σπίλος καὶ αἰσχύνη. B.I. ἀντὶ τοῦ κακὸν ἀπροσδόκητον. A.

2.821 821. κατακονὰ μὲν οὖν: ἀντὶ τοῦ καταφθορά. λείπει δὲ τὸ κατέλαβέ με. ὁ δὲ νοῦς· καταφθορὰ ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με. κακῶν δὲ ὁ τάλας πέλαγος εἰσορῶ. γράφεται δὲ καὶ τὸ κατακονῶ ῥῆμα, ἵν᾽ ᾖ οὕτως· μαραίνει με ἡ δυστυχία τοῦ βίου. γράφεται καὶ κατακονᾷ μὲν οὖν, ἀντὶ τοῦ καταναλίσκει.

2.824 824. μηδ᾽ ἐκπερᾶσαι κῦμα: ἀντὶ τοῦ ἐκκολυμβῆσαι, παρέρπειν, ἐπεὶ καὶ πέλαγος προείρηται. ἐνέμεινε δὲ τῇ μεταφορᾷ.

2.828 828. ὄρνις γὰρ ὥς τις: ὥσπερ γὰρ ὄρνις κρατουμένη ὑπό τινος ἀφανὴς γίνεται, οὕτω καὶ σὺ, ταχέως πηδήσασα ἐν τῷ Ἅιδῃ.

2.831 831. πρόσωθεν δέ ποθεν: πόθεν συνέβη μοι αὕτη ἡ συμφορά: μὴ ἄρα ἕνεκεν τῶν πρότερον ἡμαρτημένων μοι, ἢ πρός τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων; B.I.

2.834 832. ἀμπλακίαισι τῶν πάροιθεν: ταῖς ἁμαρτίαις τῶν προγόνων, ὅ ἐστιν, οὐ δἰ ἐμὸν ἁμάρτημα τιμωροῦμαι, ἀλλὰ διὰ προγονικόν. Ἄλλως. μὴ διὰ τὰς ἁμαρτίας τῶν προτέρων μου, ἤτοι προγόνων, ἀναλαμβάνω τοιαύτην δυστυχίαν παρὰ θεῶν; .

2.834 834. οὔ σοι τάδ᾽ , ὦναξ: καὶ ἐν τῇ Ἀλκήστιδι “οὐ γάρ τοι ποῶτος, οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες.” B.I.

2.835 835. κεδνὸν λέχος: τὸ φρόνιμον, ἢ τὸ ἐπιμελείας ἄξιον. B.

2.836 836. τὸ κατὰ γᾶς θέλω: οἷον θέλω λοιπὸν ἀποθανεῖν. A.B. κνέφος: σκότος. παρὰ τὸ κενὸν εἶναι φάους. A.

2.840 840. τίνος κλύω: λείπει ἡ παρά, παρὰ τίνος ἀκούσω καὶ μαθήσομαι τὸ συμβάν σοι αἴτιον, ὅθεν ἀπώλου, τίς ἂν εἴποι τὸ γενόμενον; ἢ ὄντως τὸ δῶμα μάτην ἔχει θεραπόντων ὄχλον; B.I. πόθεν συνέβη μοι, ἤτοι αὕτη ἡ συμφορὰ, μὴ ἄρα ἕνεκα τῶν πρότερον ἡμαρτημένων, μοι, ἢ ἀπό τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων πολλάκις γὰρ πατέρων ἀνομίαι τέκνοις ἀποδίδονται. A.

2.843 843. στέγει: τρέφει. A. φέρει. B.

2.846 846. οὐ τλητὸν οὐδὲ ῥητόν: ὃ οὔτε σιωπᾶν δύναμαι, (μέγα γάρ ἐστιν) οὔτε λέγειν. αἰσχύνην γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανάτου. A.B.I. ἀλλ᾽ ἀπωλόμην: ἡ ἀλλὰ ἀντὶ τοῦ γάρ. A. τὸ δὲ ἔλιπες ἔλιπες, ὦ φίλη, ἀντὶ τοῦ ἀπέθανες, ἔλιπες τὸ ζῆν. καὶ τὸ ἰὼ τάλας ἀντὶ τοῦ τάλαινα· καὶ γὰρ ταῦτα τοῦ χοροῦ φασιν εἶναι. B.I.

2.851 851. νυκτὸς ἀστερωπός: καὶ ἡ διὰ νυκτὸς λαμπρὰ σελήνη, ἡ μετὰ ἀστέρων φαινομένη σελήνη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου. ἐκεῖνος γὰρ κρύπτει πάντων τῶν ἀστέρων τὸ φῶς. A.B.I. Ἄλλως. ἡ μετὰ ἀστέρων φαινομένη, πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ὁ γὰρ ἥλιος ἅπαντας ἀμαυροῖ τοὺς ἀστέρας ταῖς ἀκτῖσιν αὐτοῦ, οὐχ οὕτω δὲ καὶ ἡ σελήνη, ἀλλὰ μόνους τοὺς πλησιάζοντας. A.

2.855 855. τὸ δ᾽ ἐπὶ τῷδε: ἐπὶ πολὺ φρίσσω. διὰ τί γὰρ κακῶς ἀπήγξω, περὶ οὗ φοβοῦμαι μὴ καὶ ἕτερόν τι πάθω κακόν.

2.859 859. ἔγραψεν: μᾶλλον ἔγραψε παρακλήσεις, ἵνα μὴ ἄλλην μνηστεύσωμαι, ἢ διὰ τὰ τέκνα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.860 860. θάρσει, τάλαινα: γελοῖον πρὸς νεκρὸν τὸ θάρσει, συγγνωστέος δὲ διὰ τὴν παρακειμένην συμφοράν. σφενδόνην λέγει τὴν δέσιν, τὸν δεσμὸν, τύπον δὲ τὴν ἐπικειμένην σφραγῖδα τῷ δεσμῷ. προσσαίνουσί με δὲ ἀντὶ τοῦ ἡδύνουσί με, προτρέπονται, κολακεύουσιν. αὐτῆς γάρ εἰσι. ὅθεν ἐπάγει, ἴδω τί λέξαι, ἵνα ἴδω τί θέλει σημᾶναι.

2.861 861. οὐκ ἔστι δώμαθ᾽: οὐκ ἔστιν ἥτις γυνὴ εἰς τοὺς δόμους εἰσέλθοι διὰ τὰ λέκτρα τοῦ Θησέως. A.

2.864 864. φέῤ, ἐξελίξας: φέρε δὴ οὖν ἀποκόψω τὸν δεσμὸν τῆς σφραγῖδος τοῦ δακτυλίου, καὶ τὰς περιπλοκὰς ἀναλύσας ἴδω τί βούλεται σημᾶναι ἡ δέλτος αὕτη.

2.866 866. ἐκδοχαῖς: κατὰ διαδοχὴν, ἵνα ἴδω πῶς νέα κακὰ ὁ θεὸς ἐπεισφέρει τούτοις τοῖς οἴκοις.

2.867 867. ἀβίωτος βίου τύχα: θάνατος τύχη ἀβιωτοποιὸς, ἢ ἡ τύχη τοῦ βίου. A. ἀντίπτωσις. ἐμοὶ μὲν οὖν εἴη τυχεῖν, ὦ τύχη, βίου ἀβιώτου. A. θάνατος τύχη ἀβιωτοποιὸς τῆς ζωῆς, ἀντὶ τοῦ ἡ τύχη τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι. πρὸς τὸ κρανθὲν γὰρ νῦν ἀντὶ τοῦ πρὸς τὸ συμβάν. B.I. ἤτοι ἐγὼ μὴ ἐπιζήσαιμι πρὸς τὸ μέλλον γενέσθαι. A.

2.869 869. ὀλομένους γάρ: τὸ ἑξῆς· ὀλομένους δόμους τῶν ἐμῶν δεσποτῶν οὐκ ἔτ᾽ὄντας λέγω. τὸ δὲ φεῦ φεῦ διὰ μέσου.

2.871 871. ἔστι: δυνατόν ἐστι. B. rec. ἔν τισιν οὐ φέρονται οὗτοι. B.

2.872 872. πρὸς γάρ τονος: ἡ πρός ἀντὶ τῆς ἀπό, ἵν᾽ ᾖ οὕτως, ἀπό τινος τύχης. B.I. εἰσορῶ γὰρ τὸ δεινὸν τὸ μέλλον ὡς ὁ 1. συγγνωστέος—συμφοράν om. A. σφενδόνης. 2. παρακειμένην] περικειμένην B. Fl. ib. ἴδω] ἴδω τί λέξαι: ἴδω οὖν 3. τῷ δεσμῷ] τῶν δεσμῶν I. 11. αὕτη add. A. 4. δὲ ἀντὶ τοῦ om. A. 12. ἐκδοχαῖς A. φεῦ φεῦ B.I. ib. ἡδύνουσί με B. Fl. 6. 15. με ib. ἵνα ἴδω πῶς addidi ex A. om. A.I. 13. ἐπεισφέρει] ἐπιφέρει A. 5. αὐτῆς γάρ εἰσι om. A. ib. οἴκοις A. τόποις BI. ib. ὅθεν—σημᾶναι add. A. 16. θάνατος add. B. Fl. 6. 15. 9. δὴ οὖν om. A. 20. ὀλομένους] ὀλουμένους B. in textu ib. ἀποκόψω] ἀποκόψας A. et in scholio. 10. τοῦ δακτυλίου—ἀναλύσας om. ib. τῶν ἐμῶν—μέσου om. A. A. habet vero gl. τοῦ δακτυλίου ad μάντις παρά τινος τῶν οἰωνῶν καὶ ὀρνέων εἰσορᾷ καὶ μαντεύεται. A. οἰωνόν: προμήνυμα. B. rec.

2.875 875. λεκτὸν, ὦ τάλας ἐγώ: λείπει τὸ εὗρον τοῦτο. A.

2.876 876. εἴ τί μοι λόγου μέτα: ἐάν με κρίνῃς ἄξιον B. καὶ μετάδος μοι τοῦ λόγου, εἰ μέτεστί μοι τοῦ λόγου. B.

2.880 880. φθεγγόμενον: βουλόμενον. A.

2.881 881. κακῶν ἀρχηγόν: ἀντὶ τοῦ κακοῦ λόγου ἀρχὴν λέγεις. τὸ ἑξῆς· τόδε μὲν δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς ἐν τῷ στόματι. ὅμοιον δὲ τοῦτο τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. δυσεκπέρατον δὲ δυσαπάλλακτον, δυσεπίληπτον. B.I. δυσεκπάλαιστον· ἢ τὸ δυσκόλως περαινόμενον καὶ γινόμενον, ἢ τὸ δυσεπίληπτον. A. τόδε μὲν οὐκέτι στόματος ἐν πύλαις: ὁμοίως τῷ Ὁμηρικῷ ἕρκος ὀδόντων. τὸ δὲ δυσεκπέρατον ὀλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς τῷ στόματι Ἄλλως· πύλαι στόματος τὰ χείλη. οὐκέτι οὖν, φησὶ, καθέξω τὸν λόγον ἐντὸς τοῦ στόματός μου, τουτέστιν οὐκέτι σιωπήσω. A.

2.886 886. τὸ σεμνὸν Ζηνὸς ὄμμ᾽ἀτιμάσας: τὴν τοῦ Διὸς ἐφορείαν σεμνὴν μὴ τιμήσας. A. ἀντὶ τοῦ τὸν πατρῷον Δία ὑβρίσας.

2.888 888. μιᾷ κατέργασαι: μιᾷ τούτων τῶν καταρῶν κατέργασαι τὸν ἐμὸν παῖδα. ποίων δέ; ἃς ἀρὰς ἐμοὶ ὑπέσχου, τὸ ἀνελθεῖν ἐξ Ἅιδου, τὸ ἀποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου, τὸ πεμφθῆναι τῷ υἱῷ αὐτοῦ θάνατον.

2.893

Eulogikon public reading copy · View original HTML at eulogikon.org

892. γνώσῃ γὰρ αὖθις: ἔχεις γὰρ γνῶναι ὅτι ἥμαρτες. καὶ ἐν Ἀλκήστιδι “οὐ γὰρ πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες.” .

2.893 893. καὶ πρός γ᾽ ἐξελῶ: αὖθις ἐπαναλαβὼν, ἀντὶ τοῦ οὐδαμῶς· ἀλλὰ πρὸς τούτοις καὶ ἐκβαλῶ αὐτὸν ἐκ ταύτης τῆς γῆς.

2.894 894. δυοῖν δὲ μοίραιν θατέρᾳ: μιᾷ τῶν δύο μοιρῶν πληγήσεται.

2.897 897. ἀλώμενος: πλανώμενος. A.

2.901 901. τὸ λῷστον: τὸ βέλτιστον, τὸ συμφέρον. A.B.

2.908 908. οὔπω χρόνον: οὐ πρὸ πολλοῦ μοι τοῦ χρόνου ἐβλέπετο, ἢ οὐκ ἐκ πολλοῦ χρόνου, ἀλλ̓ ἔναγχος· ἀντὶ τοῦ ἣν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπέθανεν, ἤτοι πρὸ ὀλίγου.

2.911 911. σιωπῆς δ̓ οὐδὲν ἔργον: τὸ τέλειον οὕτως· ἐν δὲ, ἀντὶ τοῦ ἐν γὰρ, τοῖς κακοῖς οὐδεὶς ὀφείλει σιγᾶν· οὐδὲν ὄφελος, φησὶν, οὐδὲ κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπή ἐστι.

2.912 912. ἡ γὰρ ποθοῦσα: ἡ γὰρ καρδία ἐπιζητοῦσα τὰ πάντα ἀκούειν δαπανᾶται. λίχνος δὲ ἤτοι ἐπιθυμητικὴ, περίεργος.

2.915 915. κρύπτειν δίκαιον: οὐ γὰρ ὀφείλεις κρύπτειν τὰς σὰς δυστυχίας τοὺς φίλους σου, τουτέστι τὰ τέκνα σου.

2.916 916. ὦ πόλλ̓ ἁμαρτάνοντες: ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι καὶ διδάσκοντες τοὺς ἀνθρώπους, πλὴν τούτου, τοῦ διδάσκειν συνετοὺς τοὺς ἀσυνέτους. περιτταὶ οὖν, φησὶν, αἱ παραινέσεις καὶ συμβουλίαι τῶν ποιητῶν, οὐχὶ τὰ δέοντα φρονεῖν διδάσκουσαι τοῖς ἀνθρώποις αὗται. λέγομεν δὲ ὅτι τῇ προσθήκῃ τὴν ἀπορίαν ἔλυσεν, εἰπὼν “οἷσιν οὐκ ἔνεστι νοῦς·” εἰς νοῦν γὰρ ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει, εἰς δὲ ἄνουν μάτην ἐκρίπτεται.

2.921 921. δεινὸν σοφιστήν; λογιστὴν, ἐξεταστὴν, διδάσκαλον. ὁ νοῦς τοιοῦτος· ἀληθῶς καλὸν διδάσκαλον εἶπας, τὸν δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας.

2.924 924. δέδοικα μή σου: φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλλουσά σου ἡ γλῶσσα ἔξηχον καὶ παράφρονά σε ποιήσῃ.

2.927 927. ὅστις τ᾽ ἀληθής: ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν, εἴτε καλά ἐστιν, εἴτε κακὰ, ὥσπερ ἐπὶ τοῦ χρυσίου. δοκιμαζόμενον γὰρ φαίνεται εἰ καλόν ἐστιν ἢ κακὸν, ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοὺς ἀνθρώπους δύο φωνὰς ἔχειν, δικαίαν τε καὶ ἄδικον, ἵνα, εἰ μὲν ἡ ἄδικος φωνὴ θελήσει ψεύσασθαι, ἠλέγχετο καὶ οὐδεὶς ἠπατᾶτο.

2.934 932. ἀλλ᾽ τις εἰς σὸν οὖς: μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν οὖς ἀπὸ τῶν φίλων; .

2.934 934. ἔκ τοι πέπληγμαι: ξένους λόγους ἀκούων παρὰ σοῦ ἐκπλήσσομαι. οἱ γὰρ σοὶ λόγοι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν παρεξηλλαγμένοι τοῦ καθήκοντος παραπλῆγά με κατεργάζονται. Ἄλλως. ἔξεδροι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν μου, οἷον μαινόμενοι, ἐξεστηκότες, ἄδικοι, παραλογιστικοὶ, μὴ καλῶς λεγόμενοι, ἀλλ᾽ ἔξω τῆς διανοίας ὄντες. A.B.I. οἱ τὸν ἀκούοντα ποιοῦντες ἔξω τῶν φρενῶν καὶ τῆς διανοίας. καὶ τοῦτο γὰρ ὕβρις τοῦ Θησέως τὸ λέγειν τοὺς αὐτοῦ λόγους μωρούς. B. rec.

2.936 936. φεῦ τῆς βροτείας: ἤγουν ἡ βροτεία φύσις. A.

2.937 937. τί τέρμα τόλμης: τί ἔσται τέλος τοῦ θράσους, τὸ θράσος δηλονότι.

2.938 938. εἰ γὰρ κατ᾽ ἀνδρός: εἰ γὰρ ἐπαρθήσεται ἑνὸς ἑκάστου ἀνδρὸς ὁ βίος, καὶ ὁ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ, ὀφείλομεν 2. καλά—κακὰ A. καλόν—κακὸν 12. παρὰ] περὶ Fl. 6. 15. B.I. ib. ἐκπλήσσομαι—Ἄλλως] ἐκπλήττομαι. ib. ὥσπερ] ὡς A. λόγοι παραλλάσσοντες: παρηλαγμένοι ib. χρυσίου. δοκιμαζόμενον—καλόν— τοῦ καθήκοντος. οἱ γὰρ σοὶ— κακόν A. χρυσοῦ. δοκιμαζόμενος—καλός κατεργάζονται, ἄλλως. ἢ παραλλάσσοντες τοῦ πρέποντος ἤτοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔξω τοῦ εἰκότος —κακός B.I. 3. τοῦ ἀνθρώπου A.B. Fl. 6. 15. φερόμενοι καὶ ἐκτὸς ὄντες λογισμοῦ A. 13. λόγοι οἱ] οἱ om. I. τοὺς ἀνθρώπους I. 5. εἰ μὲν A. ἐὰν B.I. ib. φρενῶν—ἐξεδροποιοὶ τῶν om. I. ib. θελήσει A. ἠθέλησε B.I. 15. οἷον A. ὥστε B.I. 6. ἠλέγχετο—ἠπατᾶτο A. ἠλέγχετο 21. τέλος A.B. τὸ τέλος I. ὑπὸ τῆς δικαίας, ἵνα μηδεὶς ἀπατηθῇ B.I. ib. τὸ θράσος δηλονότι om. A. 7. ἦ] εἴ A.I. 24. καὶ ὁ] ὁ om. I. 8. ἀπὸ] ἐκ A. ib. ἐπιγινόμενος] ἐπιγενόμενος Fl. 9. Ἡσίοδος] Op. 42. 6. 15. δεήσεις τοῖς θεοῖς ἀνενεγκεῖν, ἵνα ἄλλην γῆν τινα ἀπομερίσῃ, ἥτις τοὺς κακοὺς χωρήσει. ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ Ἱππολύτου. Ἄλλως. εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται, ἵνα ὁ μεταγενέστερος τοῦ προβεβηκότος πανουργότερός ἐστιν, ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους. Ἄλλως. εἰσὶ φύσεις ζώων πρὸς ἑτέρας φύσεις ζώων ἐναντίως ἔχουσαι, οἷον ἡ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων, ἡ τῶν λύκων πρὸς τὴν τῶν προβάτων. καὶ Ὅμηρος “ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονες.” καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία, τοῖς δὲ ἀνθρώποις ἡ ἡμετέρα τῶν χωρίων. ὅταν, φησὶν, εἰς ἄκρον κακίας προκόψῃ τῶν ἀνθρώπων ἡ φύσις, ἀπορήσουσιν οἱ θεοὶ ποῖ τοὺς πονηροὺς κατοικίσουσιν. εἰς τὰς ἐρημίας; ἀλλ’ ἐκεῖ θῆρες. εἰς τὰ ἡμέτερα χωρία; ἀλλ’ ἐκεῖ δίκαιοι ἄνθρωποι. λοιπὸν ἀνάγκη ἑτέρας δεῖσθαι γῆς ἥτις τοὺς κακοὺς χωρήσει.

2.943 943. σκέψασθε δ’ εἰς τόνδε: ἀποβλέψατε, φησὶν, εἰς τὸν ἐμὸν υἱὸν, ὅστις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην, καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης.

2.946 946. δεῖξον δ’, ἐπειδή γ’ εἰς μίασμ’ ἐλήλυθας: ἐλήλυθας, δεῦρό μοι ἐναντίον στῆθι, ἤγουν ἐπεὶ ὅμως εἰς τὸ μιᾶναι ἦλθες δεῦρο, δεῖξόν μοι τὸ σὸν πρόσωπον, ἢ ἐπεὶ ὅλως ἐτόλμησας ἐλθεῖν εἰς τὸν τῆς Φαίδρας ἔρωτα, ὅπερ μίασμα καλεῖ. A.

2.948 948. σὺ δὴ θεοῖσιν: σὺ δὲ εἶ ὁ ὑπὲρ πάντας σοφὸς ὢν καὶ σώφρων, καὶ ἀκούων ἀμίαντος τῶν κακῶν. οὐδαμῶς ἐγὼ πείθομαι τοῖς σοῖς ψεύσμασι.

2.953 953. σίτοις καπήλευε: ἀντὶ τοῦ χλεύαζε, ἀποπλάνα τοὺς ἀνθρώπους, ὥστε πορίζειν τροφάς· ἢ ἐν λόγοις ἐμπορεύου, καθάπερ οἱ λογέμποροι λεγόμενοι, καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες, ἀλλὰ τοῖς λόγοις καπηλεύοντες καὶ τοῖς σιτίοις τοῖς δι’ ἀψύχου βορᾶς ἀπάτα. ἀντὶ τοῦ ἁγνεύετε, ὡς οἱ φιλόσοφοι μηδὲν κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἑτέρων ἐσθίοντες, ἀλλὰ σῖτον μόνον, καὶ ἔχοντες τὸν Ὀρφέα βασιλέα ὡς σώφρονα. ἐπεὶ γὰρ ἔνδοξος ἦν ὁ Πυθαγόρας, ἤδη καὶ πολλοὶ ἐμψύχων ἀπέσχοντο. ἀνάγει δὲ τοὺς χρόνους· περὶ ἑαυτοῦ γὰρ βούλεται αἰνίξασθαι ὁ Εὐριπίδης. τοιοῦτος δέ ἐστιν, ἀεὶ τὰ ἡρωϊκὰ πρόσωπα εἰσάγων φιλοσοφοῦντα.

2.954 954. βάκχευε: μεγαλαύχει, τὰς μωρίας τῶν πολλῶν γραμμάτων ἐπιστάμενος. τὸ γὰρ ληφθῆναί σε σκαιὰν ἐποίησέ σου τὴν ἄσκησιν. A.B.I. ἐνθουσία. Fl. 2. τιμῶν καπνούς: τιμῶν οἰκίας τὰς ὑπὸ τῶν φορολόγων εἰσγεγραμμένας. B. rec.

2.958 958. τέθνηκεν ἥδε: εἰ δὲ νομίζεις, φησὶν, ἐκφυγεῖν ταύτης ἀποθανούσης, οὐδαμῶς ἔσται τοῦτο, ἐπεὶ ἔχεις εἰς ἔλεγχον τὰ γράμματα ταῦτα ταύτης ἀποθανούσης.

2.962 962. μισεῖν σε φήσεις τήνδε: ἀλλ’ ἔχεις εἰπεῖν ὅτι ἐμίσει σε ὡς νόθον ὄντα, ἐπειδὴ οἱ γνήσιοι πολέμιοι τῶν νόθων εἰσίν.

2.904 904. κακὴν ἄρ’ αὐτήν: οἱ ἔμποροι τὰ μὲν παρέχουσι, τὰ δὲ λαμβάνουσι, καὶ τοῦτο ἐπ’ ὠφελείᾳ ποιοῦσιν. εἰ οὖν αὕτη τὴν ψυχὴν ἑαυτῆς δέδωκεν, ἵνα σε μισητὸν τῷ πατρὶ καταστήσῃ, ἄφρων ἄρα καθέστηκε, τοιαύτην ὁδὸν ἐμπορευομένη. οἱ γὰρ ἔμποροι ἐπὶ κέρδει πραγματεύονται. θέλεις, φησὶν, εἰπεῖν ὅτι ἐπραγματεύσατο, θέλουσά σε φονεῦσαι, διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως ταύτης. ἔμπορος δὲ διοικήτρια, προνοητικὴ, πρακτική.

2.967 967. οἶδ’ ἐγὼ νέους: οἶδα ἐγὼ νεωτέρους ὅτι, ὁπηνίκα αὐτοὺς ἡ Κύπρις ταράζῃ, μωρότεροι γίνονται γυναικῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.970 970. τὸ δ’ ἄρσεν αὐτούς: συγγνώμην αὐτοῖς παρέχει τὸ ἄνδρας εἶναι ἐν ἁμαρτίαις, ταῖς γυναιξὶ δὲ οὔ, ἢ τὸ καλεῖσθαι ἄρσενας, ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες, ἢ τὸ θρασὺ καὶ ἀναιδές.

2.971 971. νῦν οὖν τί ταῦτα: ἐναντιούμενος οὖν ἐγὼ νῦν τοῖς σοῖς λόγοις ταῦτα λέγω, ἔχων καὶ σαφῆ μάρτυρα τὸν νεκρόν.

2.973 973. ἔξερρε γαίας: φθείρου ἐκ ταύτης τῆς γῆς φυγὰς γενόμενος, καὶ μήτε εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς τὴν ὑπὸ Ἀθηνᾶς ᾠκοδομημένην. θεοδμήτους γὰρ τὰς θείως ᾠκοδομημένας· οὐ γὰρ ὑπὸ θεῶν ἐτειχίσθησαν.

2.974 974. θεοδμήτους: θεοδμήτους οὐ λέγει τὰς Ἀθήνας ὡς ὑπὸ θεῶν τειχισθείσας, ἀλλ’ ὡς τῇ Ἀθηνᾷ ἀνατεθείσας. αἱ γὰρ Ἀθῆναι πρῶτα κατὰ τὸν μῦθον ἀναφανεῖσαι πολλοὺς τῶν θεῶν εἵλκυσαν εἰς ἔρωτα ἑαυτῶν, ἐξαιρέτως δὲ παρὰ τοὺς λοιποὺς θεοὺς Ἄρης καὶ Ἀθηνᾶ τῆς πόλεως ἤρων, καὶ ἀντεποιεῖτο ἑκάτερος. καθιστῶσιν οὖν αὐτοὺς τοὺς πολίτας τοὺς Ἀθηναίους δικαστὰς τίνι ἂν ἡ πόλις προσήκοι μᾶλλον. Ἀθηναῖοι δὲ λέγουσιν ὡς τῷ δεδειχότι σημεῖόν τι ἐν 2. εἰ οὖν om. A. 11. ἐν ἁμαρτίαις add. A. 3. ἑαυτῆς A. αὐτῆς BI. ib. ἢ τὸ κ.] τὸ om. A. ib. δέδωκεν B. Fl. 6. 15. ἔδωκεν ib. ἄρσενας] ἄρχοντας I. 13. οὖν ἐγὼ om. A. ib. σε] με I. 14. λόγοις om. I. ib. ἔχων A. ἔχειν B.I. 4. ὁδὸν om. A. 7. ἔμπορος —πρακτική om. A. ib. σαφῆ Heathius pro σοφήν. ib. πρακτική B. Fl. 6. 15. πραγματική ib. μάρτυρα] Quod librarius in A. scripserat μαρτυρίαν ipse in μάρτυρα I. 9. ταράξῃ A. Fl. 6. ταράξει B.I. mutavit. μάρτυρον I, omisso τόν. ib. γυναικῶν A. τῶν γυναικῶν B.I. ib. τὸν νεκρόν] τὴν νεκρόν B. 10. ἄνδρας εἶναι A. εἶναι ἀνδράσι 15. γενόμενος A. γεγονὼς B.I. 17. θεοδμήτους—ᾠκοδομημένας om. I. B.I. τῇ πόλει ἐκείνῳ ἀνατεθῆναι ταύτην. Ἀθηνᾶ οὖν ἐλαίαν ἐν τῇ ἀκροπόλει ἐξέφυσε καὶ οὕτως νικήσασα τὴν πόλιν ἔλαβεν ἑαυτῇ. καὶ διὰ τοῦτο τοῖς νικῶσι θαλλὸς ἐλαίας ἔκτοτε διδόμενος ἦν· ὥστε θεοδμήτους λέγει τὰς Ἀθήνας ὡς ἐπὶ τούτῳ οἰκοδομηθείσας, ὥστε ἀνακεῖσθαι τῇ θεῷ Ἀθηνᾷ. A.

2.976 976. εἰ γὰρ παθών γε: εἰ γὰρ μὴ τιμωρήσομαί σε, οὐδὲ ἃ πρὶν κατώρθωκα ἐμὰ νομισθήσεται, ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ’ αὐτοῖς.

2.977 977. οὐ μαρτυρήσει μ’ Ἴσθμιος: Σίνις ἐγένετο, ὅστις εἶχε κράββατον ἀνὰ μέσον τῆς ὁδοῦ, καὶ ἐκράτει τοὺς παριόντας καὶ προσεμέτρει τῷ κραββάτῳ. καὶ εἰ μὲν ἦν μακρὸς, ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ διὰ τὸ ἰσῶσαι αὐτὸν τῷ κραββάτῳ· εἰ δὲ κονδὸς ἦν, μετὰ σφύρας κατέτυπτε τοὺς πόδας αὐτοῦ, ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ Θησεὺς μόνος. λέγει οὖν ὅτι, ἐὰν ὑπὸ σοῦ ἡττηθήσομαι, οὐ μὴ πιστεύσῃ ἐκεῖνος ὁ Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα. Σίνις: υἱὸς Πολυπήμονος περὶ τὸν Ἰσθμὸν ξενοκτονῶν, ὁ καὶ Πιτυοκάμπτης.

2.979 979. Σκειρωνίδες: ὁ Σκείρων ἐν Μεγάροις ἦν, τύραννος ἄξενος, 6. εἰ γὰρ μὴ A.B. γὰρ om. I. ib. ἐκεῖνος ὁ] φονευθῆναι ὑπ’ ἐμοῦ 9. οὐ—Σίνις] οὐ μαρτυρήσει: ἰσθμοῖ. add. A. ib. Ἴσθμιος ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα σῖνις I. ib. Σίνις] Sinin cum Procruste om. A. confundit schol. De Procruste ib. ἐγὼ add. B. Diod. Sic. 14, 59. οὗτος δὲ τοὺς ib. ἐφόνευσα] Hic finitur scholion παριόντας ὁδοιπόρους ἠνάγκαζεν ἐπί τινος in B., reliquis separatim scriptis. κλίνης ἀναπίπτειν, καὶ τῶν μὲν μακροτέρων 16. Σίνις υἱὸς A. separato scholio. τὰ προέχοντα μέρη τοῦ σώματος ὁ σῖν δὲ οὗτος υἱὸς ἦν B. ἦν B. ἦν δὲ ἀπέκοπτε, τῶν δὲ ἐλαττόνων τοὺς πόδας οὗτος ὁ σῖνις υἱὸς I. προέκρουεν, ἀφ’ οὗπερ Προκρούστης ὠνομάσθη. ib. Πολυπήμονος] Legebatur Πήμονος. MATTH. μονος. Πολυπήμονος filium Sinin vocat 10. ἐκράτει A. κρατῶν B.I. Apollod. 3, 16, 2. Paus. 1, 38. p. ib. παριόντας] ἀνθρώπους A. 92. λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην ib. καὶ προσ. A. καὶ om. B.I. δὲ ἐπίκλησιν, Θησεὺς ἀπέκτεινεν. 12. διὰ τὸ ἰσῶσαι αὐτὸν A.B. Fl. At Ovid. Ibis v. 409. “ut Sinis 6. 15. ἵνα ἐξισωθῇ I. et Sciron et de Polypemone natu” ib. εἰ δὲ κονδὸς (κοντὸς B. Fl.6.15) i.e. Procrustes. MATTH. —τῷ κραββατῷ om. I. 17. Πιτυοκάμπτης]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πιτοκάμπτης A. 13. κατέτυπτε] ἀπέκοπτε Fl.6. 15. 18. Σκειρωνίδες] σκιρωνίδες. A.B. ib. πόδας αὐτοῦ] αὐτοῦ om. A. ib. Σκείρων] σκίρων A. 14. λέγει οὖν] οὕτως add. A. ib. ἦν ante ἐν Μεγάροις A. 15. οὐ et πιστεύσῃ om. A. ib. ἄξενος Valcken. pro ξένος. ὃν τῇ χελώνῃ ἔρριψεν ὁ Θησεύς. Σκειρωνίδες δὲ πέτραι καλοῦνται ἀπὸ τοῦ Σκείρωνος τοῦ τὴν χελώνην τρέφοντος, οὗ μέμνηται Καλλίμαχος. οὗτος ἠνάγκαζε τοὺς παριόντας νίπτειν τοὺς πόδας αὐτοῦ, καὶ λακτιζομένους ὑπ' αὐτοῦ βρῶμα ἐποίει γίνεσθαι χελώνης. Θησεὺς δὲ τοῦτον ὑπεράνω τῆς κεφαλῆς ῥίψας εἰς τὴν θάλασσαν ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης.

2.983 983. πάτερ, μένος μέν: ὦ πάτερ, ἡ μὲν δύναμίς σου μεγάλη ἐστὶ καὶ ἡ διάνοια τῶν σῶν φρενῶν· ἀλλ' ὅμως, ἐάν τις ἐρευνήσῃ τὸ πρᾶγμα τοῦτο, οὐ καλόν ἐστι. λέγει δὲ ταῦτα διὰ τὸ νοῆσαι ἐκεῖνον, ὅτι ἡ Φαίδρα αὐτοῦ ἠράσθη, καὶ οὐκ αὐτὸς ἐκείνης. ξύστασις: πύκνωσις, λύπη. οἱ γὰρ χαίροντες ἐκ τοῦ ἐναντίου διαχέονται. A.B.

2.984 984. τὸ μέντοι πρᾶγμα: τοῦτο τὸ πρᾶγμα, ἐν ὅσῳ μέν σοι ἄδηλόν ἐστιν, ὦ πάτερ, δοκεῖ δικαίους ἔχειν κατ' ἐμοῦ τοὺς λόγους· εἰ δέ τις αὐτὸ ἐξετάσει, οὐ σχήσει κατ' ἐμοῦ δικαίαν τὴν μέμψιν.

2.987 987. ἐγὼ δ' ἄκομψος: ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τί ἀκούουσιν, ἐν δὲ τοῖς σοφοῖς λέξω καὶ νικήσω. ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλῳ δημηγορεῖν εἰς ἥλικας, ἤτοι εἰς ὁμήλικας καὶ σοφούς.

2.988 988. ἔχει δὲ μοῖραν: ἀντὶ τοῦ ἔχει δὲ καὶ τοῦτο λόγον, ὅ ἐστιν οὐκ ἀλόγως τοῦτο εἶπον ὅτι ἄκομψος μὲν εἰς λόγον εἰμὶ, εἰς ἥλικας δὲ σοφώτερος· καὶ τοὐναντίον, φησὶν, οἱ παῤ ὄχλῳ φαῦλοι ἐν σοφοῖς μουσικώτεροι λέγειν.

2.992 992. ὅθεν μ' ὑπῆλθες: ὅθεν με κατέβαλες πρῶτα, ὡς διαφθερῶν 2. ἀπὸ τοῦ] τοῦ om. Fl. 6. 15. 15. ἐξετάσει A.B. ἐξετάσαι I. ib. τοῦ—τρέφοντος A.B. ὃς—ὅτρεφεν ib. οὐ σχήσει A.B. οὐκ ἔχει I. 18. ἀναιδῶν] ἀναιδὲς B. Fl. 6. 15. I. 3. οὗτος] ἄλλως. σκείρων οὗτος A. 20. ἀντὶ τοῦ add. B. Fl. 6. 15. ib. αὐτοῦ add. A. om. A.I. 4. ἐποίει om. A. 21. λόγον] ὄχλον A. ib. χελώνης] τῆς χελώνης A. 22. καὶ—] Lemma οἱ γὰο ἐν σοφοῖσι 5. ῥίψας] βίψαι I. φαῦλοι praefixum in A. ib. τὴν om. A.B. ib. φησὶν om. A. 7. ὦ om. I. ib. ἐν σοφοῖς A. Fl. 6. 15. ἐκ σοφῶν 8. σῶν A.B. σοφῶν I. B.I. ib. ἐρευνήσῃ A. ἐρευνόσειε B.I. 24. με add. A. 10. ἡ add. A. ib. πρῶτα] πρῶτον B. 11. ἐκ τοῦ ἐναντίου om. A. ib. διαφθερῶν A. ut videtur. δίαφθιρῶ 14. τοὺς om. I. B.I. ἄνθρωπον ἀπολογίαν οὐκ ἔχοντα. ὅθεν με, φησὶ, διαφθεῖραι ἔδοξας, ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα. Ἄλλως. θεωρεῖς με, ὅτι οὐκ ἀναβλέπω πρὸς σὲ καὶ οὐκ ἀντιλέγω τοῖς ὑπὸ σοῦ λεγομένοις, καὶ διανοῇ ὅτι ἐγὼ αὐτὴν διέφθειρα.

2.993 993. κοὐκ ἀντιλέξοντ': περισσὸς ὁ καί. A.B.

2.996 996. ἐπίσταμαι γάρ: ἀντὶ τοῦ φίλος εἰμὶ τῶν δικαίων ἀνθρώπων, μήτ' ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις ἐν κακοῖς, ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας. Ἄλλως. ἐπίσταμαι δὲ κτᾶσθαι φίλους τοιούτους, τοὺς μὴ ἐπιχειροῦντας, μηδὲ θέλοντας ἀδικεῖν.

2.998 998. ἀλλ' οἷσιν αἰδώς: ἀλλ' ἐν οἷς πρόσεστιν ἡ αἰσχύνη, καὶ μὴ ὁμιλοῦσι κακὰ, μηδὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι, μηδὲ συμπράττειν τοῖς αἰσχροῖς καὶ τοῖς ταῦτα βουλευομένοις.

2.1000 1000. οὐκ ἐγγελαστής: οἷον οὐχ ἕνεκα τοῦ ἐπεγγελᾶν φίλος εἰμὶ, ἀλλ' ἀρετῆς χάριν. Ἄλλως. καὶ οὐδὲ προσγελῶν τοῖς φίλοις μου, ἀλλὰ καὶ τοῖς πρὸς ἐμὲ οὖσι, καὶ τοῖς ἄποθέν μου οὖσιν ὁ αὐτός εἰμι, καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους. Ἄλλως. οὐκ· εἰμὶ ἐγὼ ἐγγελαστὴς, οἷον οὐκ ἐγγελῶ τοῖς περὶ τὰ τοιαῦτα ἔχουσιν, ἀλλὰ μόνον οὐ σύνειμι αὐτοῖς.

2.1001 1001. ἀλλ' αὐτὸς οὐ παροῦσι: ἀλλ' ὡς μὴ παροῦσιν αὐτοῖς φίλοις ἐχρώμην καὶ ἐγγὺς ὤν. A. B. αὐτός: ὁ ὅμοιος. A. φίλος: γρ. καὶ φίλοις. B.

2.1002

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1002. ἑνὸς δ’ ἄθικτος: ἑνὸς δὲ πράγματός εἰμι ἀμίαντος, ἐν ᾧ καὶ νομίζεις με μιανθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντον σῶμα ἔχω καὶ τοῦ λέχους οὐκ οἶδα πρᾶξιν.

2.1005 1005. γραφῇ τε λεύσσων: καὶ ἐν τοῖς ἀναγνώσμαιν ὁρῶν· καὶ ὅμως οὐδὲ ἐκεῖνο κατασκοπῶ καλῶς, οὕτως ὢν ἀμίαντος.

2.1010 1010. ἢ σὸν οἰκήσειν δόμον: ἢ τοὺς σοὺς γάμους λαβεῖν προσεσόκησα καὶ τὸν σὸν οἶκον ὥσπερ κληρονομίαν τινὰ λαβεῖν. ἢ οὕτως, ἠθέλησα μετὰ τοῦ δόμου καὶ τὴν ἔγκληρον καὶ εὔπορόν σου λαβεῖν εὐνήν. A.

2.1011 1011. ἔγκληρον εὐνήν: πρὸς τοῖς οἴκοις λαβὼν, καὶ τὴν εὔπορόν σου κοίτην. Ἄλλως. μονοκληρονόμον εἰ προσεδόκησα πατρὸς γυ'ναῖκα λαμβάνειν, μάταιος ἄρα ἤμην.

2.1012 1012. οὐδαμοῦ μὲν οὖν φρενῶν: οὐδαμοῦ, φησί, συνέσεως ἤμην ἐγὼ τοιαῦτα ἐννοούμενος.

2.1013 1013. ἀλλ’ ὡς τυραννεῖν: οὐδαμῶς σώφρων ἐπιθυμεῖ βασιλεύειν, εἰ μὴ ἐκστῇ τῶν φρενῶν. τὸ δὲ ἑξῆς, εἰ μὴ τὰς φρένας διέφθορε τῶν θνητῶν ἡ μοναρχία, οἷς ἁνδάνει ἡ μοναρχία. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ μοναρχία.

2.1016 1016. ἐγὼ δ’ ἀγῶνας μέν: ἐγὼ δὲ πρῶτος θέλω εἶναι ἐν τῇ κυνηγεσίᾳ καὶ ἐν τῇ φιλοσοφίᾳ, ἐν δὲ τῇ πόλει δεύτερος.

2.1019 1019. πράσσειν γὰρ εὖ: ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει καὶ ἀκίνδυνός ἐστιν, ὁ δὲ πόλεως πρῶτος ὢν κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες ἐν κινδύνοις διάγουσιν.

2.1022 1022. εἰ μὲν γὰρ ἦν μοι: εἰ γὰρ, φησὶ, καὶ ἕτερος ἦν, τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει, (τοῦτο γὰρ δηλοῖ τὸ οἷός εἰμ’ ἐγὼ) οἷα ἐγῶ, καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς. Ἄλλως. εἰ παρῆν μοι μάρτυς δίκαιος, οἷός εἰμι ἐγὼ, ὅ ἐστιν, εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἡμετέροις τρόποις.

2.1027 1027. μηδ’ ἂν θελῆσαι: μηδὲ εἰς ἔννοιαν ἐλθεῖν ποτε τοῦ μιγῆναι τῇ σῇ κοίτῃ, οὐχ ὅτι λέγεις με καὶ φθεῖραι αὐτήν.

2.1028 1028. ἡ τἄῤ ὀλοίμην: διαζευκτικὸς ὁ ἤ, ἢ ὀλοίμην, εἰ κακὸς φανήσομαι. B.I.

2.1032 1032. εἰ δ’ ἥδε δειμαίνουσ’: εἰ δὲ ἑαυτὴν ἐφόνευσε, φοβουμένη, 5. τοῖς οἴκοις] τοὺς οἴκους A. ib. ἐν post εἶναι om. I. 8. Lemma ego addidi. In I. 17. δὲ] γὰρ A. λαμθάνειν. μάταιος ἄῤ ἦν (ἄρα ἦν B. 18. ἐν om. A.B. ἄρα ἤμην A.): οὐδαμοῦ—. 20. ἔλεγε καὶ] λέγων A. ib. ἤμην] ἦν A. ib. εἰμ’ ἐγώ] ἐγὼ εἰμὶ A. hic et l. 22. 10. οὐδαμῶς] οὐδαμοῦ A. ib. οἷα ἐγὼ om. I. 11. διέφθορε A.B. Fl. 6. 15. διέειρε 21. εἰ παρῆν] εἴπερ ἦν μοι I. 25. οὐχ ὅτι—αὐτήν om. A. I. 12. οἷς ἁ. ἡ μ. add. B. Fl. 6. 15. 28. ἐφόνευσε φοβουμένη] φοβουμένη 14. δὲ add. A. ἐφόνευσεν A. ἵνα μὴ κακὴν δόξαν λάβῃ διὰ τὸ ἐρασθῆναι τοῦ υἱοῦ τοῦ ἀνδρὸς αὐτῆς, οὐκ οἶδα. A. Fl. 6. 15.

2.1034 1034. ἐσωφρόνησεν: δυνατὸν ἐν ἐρωτήσει, ἵν’ ᾖ οὕτως· ἡ Φαίδρα, ὡς σὺ φῇς, ἐσωφρόνησε, καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη, ἐγὼ δὲ ὁ ἔχων οὐκ ἐσωφρόνησα, ἀλλ’ ἐβουλήθην αὐτῇ μιγῆναι αὐτῆς μὴ βουλομένης; A.B.I. Ἄλλως. τινὲς δὲ κατ’ ἐρώτησιν οὕτως· ἆρα ἡ Φαίδρα μὴ οὐκ ἔχουσα σωφρονεῖν ἐσωφρόνησεν, ἐγὼ δὲ ὁ δυνάμενος σωφρονεῖν οὐκ ἐσωφρόνουν; Ἄλλως. ἐσωφρόνησεν ἡ Φαίδρα εἰποῦσα τὸν ἔρωτα, καίτοι οὐκ εἶχε σωφρονεῖν τοῦ ἔρωτος νικωμένη· ἐγὼ δὲ ἔχων τὴν σωφροσύνην οὐ καλῶς ἐχρησάμην αὐτῇ διὰ τὸ μὴ αὐτίκα μηνῦσαί σοι τὰ κατ’ αὐτὴν καὶ δηλῶσαί σοι. A.

2.1035 1035. ἡμεῖς δ’ ἔχοντες: ἡμεῖς δὲ σιωπήσαντες οὐ καλῶς ἐποιήσαμεν. τὸ γὰρ ἔχοντες ἀντὶ τοῦ σιωπήσαντες, ἢ τὴν σωφροσύνην φυλάξαντες.

2.1036 1036. ἀρκοῦσαν εἶπας: ἀπολογίαν ἀρκοῦσαν εἶπας τοῦ μὴ. φονεῦσαί σε τὴν Φαίδραν.

2.1038 1038. ἐπῳδός: ἀντὶ τοῦ ἀπατεὼν, φαρμάκων ἔμπειρος. εὐοργησίᾳ δὲ πρᾳότητι, βαθύτητι. οὕτως Ἀττικῶς. τινὲς δὲ εὐηθείᾳ, ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος.

2.1039

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1039. εὐοργησίᾳ: ἀνεξικακίᾳ. Β.

2.1041 1041. καὶ σοῦ γε κάρτα: θαυμάζω σε, ὦ πάτερ, εἰ ταῦτα καρτερεῖς. εἰ γὰρ ἐγῶ πατὴρ σὸς ἤμην, οὐδαμῶς ἐφυγάδευον, ἀλλ’ ἐφόνευον νευον ἄν σε, εἰ ὑπελάμβανον τὴν γυναῖκά μου διαφθείραντα.

2.1046 1046. προὔθηκας: ἐπεκύρωσας. Α.

2.1047 1047. ταχὺς γὰρ Ἅιδης ῥᾷστος: ἀντὶ τοῦ ἥδιστος. ταχὺς δὲ ἀντὶ τοῦ ὀξύς. οἱ γὰρ ἄδικοι ταχὺ τὸν θάνατον λαμβάνοντες χαίρουσι, διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις.

2.1050 1050. μισθός: ἐν πολλοῖς οὐ φέρεται οὗτος ὁ ἴαμβος. Β.

2.1057 1051. οὐδὲ μηνυτὴν χρόνον: οὐδὲ περιμένεις ὀλίγον χρόνον, ἵνα μάθῃς τὸ ἀσφαλὲς, ἀλλ’ οὕτως με διώκεις; .

2.1057 1057. ἡ δέλτος ἥδε: αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη, ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ δέχομαι, καὶ ταύτῃ πιστεύω. τοὺς δὲ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω, ἀντὶ τοῦ οἰμώζειν. οὐ παρὰ μάντεων, φησὶ, μαθοῦσα, ἀλλ’ αὐτὴ παθοῦσα, καὶ πλέον ἄλλων εἰδυῖα. κλῆρος δέ ἐστι τὸ σημεῖον τὸ διδόμενον τοῖς μαντευομένοις, ἀφ’ ὧν οἱ μάντεις ὁρμώμενοι προφητεύουσι περὶ τῶν μελλόντων. τινὲς δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν, οἱ δὲ κλήροις. κλῆρον οὖν τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι, ὅ ἐστι λαχμοῖς. Α.Β.Ι. κλῆροι λέγονται τὰ σημεῖα τῆς πτήσεως τῶν οἰωνῶν, ἐξ ὧν οἱ μάντεις προλέγουσιν. Α.

2.1062 1062. οὐ δῆτα πάντως: ὑφὲν ἀναγνωστέον. καὶ περιττεύει ἡ μία ἄρνησις. οὐ δῆτα: ἀντὶ τοῦ οὐδαμῶς, εἰ λύσω τὸν ὅρκον, ἐγχωρεῖ μὴ πεῖσαί με, καὶ μάτην λύσω τὸν ὅρκον, ὃν ὤμοσα τῇ τροφῷ μηδὲν εἰπεῖν. Ἄλλως. πολλάκις, φησὶν, ἂν εἴπω, οὐ πείθω τι καὶ τοὺς ὅρκους παραβαίνω. Α.Β.Ι. Ἄλλως. οὐκ ἄν ποτε πείσω τοὺς περὶ Θησέα, οὕς με δεῖ πεῖσαι, κἂν ἀποκαλύψω τὸν ἔρωτα τῆς Φαίδρας, ὥστε μάτην ἂν συγχέαιμι τοὺς ὅρκους, οὓς πρὸς τὴν τροφὸν τῆς Φαίδρας ἐποιησάμην. Α.

2.1065 1065. οὐκ εἶ πατρῴας: τὸ εἶμι τὸ πορεύομαι, καὶ τὸ εἰμί τὸ ὑπάρχω ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον ἀποβολὴν πάσχουσι τοῦ σ παραλόγως. φασὶ γὰρ ποῖ ἄπει καὶ ποῦ εἶ. Β.Ι.

2.1066 1066. τίνος ξένων: τίνος τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι; διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται; Β.Ι.

2.1068 1068. ὅστις γυναικῶν λυμεῶνας: ὅστις ἥδεται κομίζων τοὺς ξένους λυμεῶνας τῶν γυναικῶν καὶ συνεργάτας τῶν κακῶν. Β.Ι.

2.1074 1074. ὦ δώματ’, εἴθε: ὦ οἰκήματα, εἴθε φωνὴν ἀφίετε καὶ ἐμαρτυρήσατέ μοι, εἰ τοιοῦτος ἀνὴρ γέγονα.

2.1076 1076. εἰς τοὺς ἀφώνους: γράφεται καὶ σοφῶς, ἵν’ ᾖ σοφιστικῶς καὶ τεχνικῶς. εἰς τὸ φεύγεις ὑποστικτέον. τὸ δὲ λοιπὸν κατὰ ἀπόφασιν, εἰς τοὺς ἀφώνους μάρτυρας φεύγεις, ὃ ἔστιν ἀφώνους μάρτυρας ἐπικαλῇ. καὶ τὸ κατὰ τὴν Φαίδραν πρᾶγμα μὴ φαινόμενον σαφῶς μηνύει τὸ κακόν.

2.1078 1078. εἴθ ἦν ἐμαυτόν: εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν.

2.1080 1080. πολλῷ γε μᾶλλον: σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ὑπὲρ τοὺς τεκόντας ἢ καλῶς ποιεῖν, ὢν δίκαιος, ὡς αὐτὸς λέγεις· μᾶλλον σεαυτὸν ἤσκησας σέβειν.

2.1084 1084. οὐχ ἕλξετ᾽αὐτόν: οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς, οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν.

2.1085

1085. πάλαι ξενοῦσθαι: ἐκβάλλειν καὶ ἀποξενοῦν. A. ἐπὶ ξένης γῆς διατρίβειν, ξένος ἀντὶ πολίτου γίνεσθαι. ἔστι δὲ Ἀττικόν.

2.1086 1086. κλαίων τις: οὐχ ὡς ἀντιτείνων λέγει, ἀλλ’ ὡς ἐξ ἐλευθέρας χειρὸς ὠθεῖσθαι βουλόμενος· ὄντως ἐάν μέ τις διώξῃ ἐκ τῶν δούλων, κλαίων ἀναχωρήσει· ἐὰν δὲ θέλῃς σὺ, δίωξόν με ἐκ τῆς γῆς ταύτης.

2.1090 1090. ἄραρεν: ἀντὶ τοῦ ἔδοξε, κέκριται. B.

2.1093 1093. σύνθακε: συγκάθεδρε. B. rec.

2.1102 1102. ἦ μέγα μοι τὰ θεῶν: γυναῖκες μέν εἰσιν αἱ τοῦ χοροῦ, μεταφέρει δὲ τὸ πρόσωπον ἐφ’ ἑαυτοῦ ὁ ποιητὴς, καταλιπὼν τὰ χορικὰ πρόσωπα· μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δέ μοι ἀντὶ τοῦ μου, ὡς τὸ “μητέρι μοι μνηστῆρες” τὲ δὲ ἑξῆς· ὄντως μου τὰς λύπας μεγάλως ἀφανεῖς καθίστησι τὰ περὶ θεῶν μελεδήματα, ὅταν εἰς φρένας ἔλθῃ. ὁρῶν δὲ ὁ χορὸς εὐσεβῆ μὲν ὄντα τὸν Ἱππόλυτον, κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον, θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον, καὶ ταράττεσθαί φησι τὴν διάνοιαν, ὑπονοῶν μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρωπίνων, ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τῶν ἀνθρώπων τὰ πράγματα, ἐκ τοῦ τοὺς μὲν ἀδίκους εὖ πράττειν, τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πάσχειν κακῶς. ὁ δὲ νοῦς, ὅταν, φησὶ, θεοὺς λογίσωμαι, πάσης λύπης ἀπαλλάσσομαι, ἐνθυμούμενος ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι, τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες. καὶ δοκῶν κατὰ τοῦτο συνετὸς εἶναι ἄφρων ἐλέγχομαι, ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. σύνεσιν γάρ τινα ἐν ταῖς ἐλπίσιν ἔχων ἐλαττοῦ καὶ ἀπολείπομαι, βλέπων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις, τουτέστιν ὁπηνίκα ἂν τὰ ἀνθρώπινα ἐννοήσω, ἐλαττοῦμαι, καὶ οὐ μέγα φρονῶ. A.B.I. Ἄλλως. ὁπηνίκα μοι τὰ τῶν θεῶν προνοήματα καὶ αἱ διοικήσεις, καθ’ ἃς τῶν ἀνθρωπίνων ἐπιστατοῦσι πραγμάτων περὶ τὴν ἐμὴν διάνοιαν γένωνται καὶ ἀνασκοπήσω αὐτὰ, μέγα μέρος τῆς λύπης ἀφαιροῦμαι, πρόνοιαν νομίζων εἶναι τὴν δικαίως τὰ ἀνθρώπων οἰκονομοῦσαν. βλέπων δὲ πάλιν εἰς τὰς τῶν 2. καὶ Ἐρεχθέως—Ἀθήνας om. A. 9. ὡς τὸ] Hom. Od 2, 50. ib. καὶ ἐρεχθέως δὲ γῆν τὸ B. Fl. 10. μου] μέν A. 6. 15. καὶ ἐρεχθεὺς δὲ τὸ I. ib. ἀφανεῖς] ἀφανῶς I. 3. δὲ ἐννεάσαι om. A. 14. ἀνθρωπίνων] ἀνθρώπων I. ib. ἐννεάσαι] ἐννεᾶσαι B. ἐννεᾶσθαι 15. ἐκ τοῦ τοὺς] τὰ ἐκ τούτου μὲν A. I. ib. ἀδίκους om. A.B. 4. εἰς A. πρὸς B.I. 16. τὴν om. A. ib. ἡβᾶν A.B. ἡβᾶναι I. ib. πάσχειν B. Fl. 6. 15. πράττειν 8. χορικὰ] χωρικὰ, superscripto A.I. θηλυκὰ, A. χωρικὰ etiam I. 20. ἐν ταῖς] ἐν om. I. ib. γὰρ om. A. 22. ἂν τὰ A.B. αὐτὰ I. ἀνθρώπων τύχας καὶ εἰς τὰς πράξεις αὐτῶν, καὶ ὁρῶν τοὺς μὲν κακοὺς εὐτυχοῦντας, τοὺς δὲ ἀγαθοὺς ἀτυχοῦντας, λείπομαι κατὰ πολὺ καὶ ἄφρων ἐλέγχομαι καὶ ἀμαθὴς, κἂν νομίζω καὶ ἐλπίζω ὅτι σύνεσίν τινα καὶ νόησιν τῶν ἀνθρωπίνων ἔχω πραγμάτων. Ἄλλως. ὁπηνίκα, φησὶν, ἐνθυμοῦμαι ὅτι οἱ θεοὶ προνοοῦνται τῶν ἀνθρώπων, μεγάλως τῆς λύπης ἀναχαιτίζομαι. A.

2.1105 1105. ξύνεσιν: σοφίαν δέ τινα ἐν τῇ διανοίᾳ ἔχων, ὡς πρόνοιαν θεῶν λογιζόμενος, ἐκπίπτω ταύτης, ἔν τε ταῖς τύχαις τῶν θνητῶν καὶ ἐν ἔργμασι λεύσσων, τουτέστιν ἐν τοῖς ἔργοις βλέπων. A.B.I. Ἄλλως. νόησιν δέ τινα τῶν ἀνθρωπίνων πραγμάτων ἐλπίζων ἔχειν τῇ διανοίᾳ ἐλέγχομαι κατὰ πολὺ τῆς ἀληθείας λειπόμενος. A. ἐλπίδι κεύθων: ἐν ἐλπίδι δὲ, φησὶ, τιθέμενος τὰ πράγματα, ἀπολείπομαι τῆς ἐλπίδος· οὐ γὰρ ἀποβαίνει καθὼς ἐλπίζω. Fl. 6.

2.1108 1108. ἄλλα γάρ: ἄλλα γὰρ ἄλλοθεν πράγματα ἐναλλάσσεται, οἷον πολλὴ μεταβολὴ τῶν ἀνθρωπίνων πραγμάτων.

2.1109 1109. μετὰ δ’ ἵσταται: μεταβαίνει εἰς πολλὰ πλανώμενος τοῖς ἀνθρώποις ὁ βίος, οἷον οὐ μένει βέβαιος ὁ αἰὼν, ἀλλὰ μεταβάλ λεται.

2.1110 1110. πολυπλάνητος: οἷον, τὸ ζῆν ἀεὶ μεταβάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις.

2.1113 1113. καὶ ἀκήρατον ἄλγεσι: καὶ ἐν κακοῖς ἄφθαρτον καὶ ἀβλαβῆ τὴν ψυχὴν παράσχῃ. A.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.1114 1114. δόξα δέ: ὅ ἐστι μὴ σχῶ μεγάλην δόξαν, μήτε μικρὰν, ἀλλὰ μέσην καὶ σεμνήν. παράσημος δὲ ἀντὶ τοῦ ἀδόκιμος, ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων. A.B.I. Ἄλλως. εἰς ἄκρον τελείᾳ ἐν εὐτυχίᾳ, ἤτοι παρὰ τὸ σημεῖον τοῦ ἀτρεκοῦς. τοῦτο δὲ λέγει ὅτι εἴθε μοι ἐδόθη βίος εὐτυχὴς καὶ ἄλυπος, καὶ μήτε βασιλείᾳ 7. ὡς πρόνοιαν] καθ’ ὃ πρόνοια A. 19. πολυπλάνητος: οἷον τὸ A. B. 9. λεύσσων om. A. ἄλλως. τὸ I. ib. τουτέστιν—βλέκων addidi ex 23. ὅ ἐστι A. ἀντὶ τοῦ B. Fl. 6. 15. οἷον I. 14. ἄλλα γὰρ ἄλλοθεν add. A. ib. σχῶ] σχῶν A. 16. μεταβαίνει hic A.B., post πλανώμενος 24. σεμνήν] καλήν A. I. ib. παράσημος δὲ] μήτ’ ἂν παράσημος ib. τοῖς ἀνθρώποις add. A.B. A. 17. βέβαιος A. βέβαιος τοῖς ἀνθρώποις 25. κιβδήλων om. A. B.I. ἐτιμήθην· αὕτη γάρ ἐστιν ἡ ἀτρεκὴς καὶ ὑπερφέρουσα δόξα· μήτε κατὰ τὸν βίον πενία ἐσχάτη καὶ ἀτυχία καὶ ἀδοξία καὶ θλίψις. διὰ τοῦτο γὰρ τῇ παράσημος λέξει ἐχρήσατο, κατ’ ἐναντίωσιν τοῦ ἀτρεκὴς, ἤτοι παρὰ τὸ σημεῖον καὶ τὸ σύμβολον τῆς ἀτρεκότητος καὶ τῆς ὑπερφερούσης δόξης. A. δόκησις δὲ μήτε ἀτρεκὴς ἀντὶ τοῦ ἀκριβὴς, μεγάλη, ἄκρα. B. παράσημος: ἀδόκιμος. B. οἰκτρὰ, εὐτελής. B.

2.1115 1115. ῥᾴδια δ’ ἤθεα: ἀντὶ τοῦ εὐχερῆ καὶ ἄλυπα ἤθη ἔχουσα καὶ προβαίνουσα εὐτυχοίην ἀεί. Ἄλλως. εὐχερῶς δὲ τὰ συνήθη μεταβάλλουσα τὸν ὀλίγον χρόνον εὐτυχοίην τὸν βίον. τὸ δὲ ἑξῆς, εὔκολον δὲ ζωὴν εἰς τὸν καθ’ ἡμέραν χρόνον ἀεὶ διαδεχοίμην, καὶ σὺν ἄλλοις τὸν βίον εὐτυχοίην. δύναται δὲ καὶ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι τὸ μεταβαλλομένη ἀντὶ τοῦ μεταβάλλουσα. δύναται δὲ πάλιν εἶναι καὶ τὰ ἤθη μεταβαλλομένη.

2.1116 1116. μεταβαλλομένα χρόνον ἀεί; ἀεὶ τὸν αὔριον χρόνον, ἤτοι τὴν ἐφεξῆς ἡμέραν, μεταβαλλομένη καὶ μεταπίπτουσα εἰς συνήθεις διαγωγάς. A.

2.1117 1117. βίον συνευτυχοίην: καλῶς ἡ σύν ἔγκειται πρόθεσις, δηλοῦσα ὡς οὐκ ἄκραν εὔχεται εὐδαιμονίαν, οὐδὲ πλεονεκτεῖν τῶν ἄλλων, ἀλλὰ σὺν ἄλλοις εὐπραγεῖν κατὰ τὸν βίον.

2.1118 1118. οὐκέτι γὰρ καθαράν: ἀντὶ τοῦ οὐκ ἀτάραχον, οὐκ ἄφοβον, διὸ καὶ μετὰ φυλακῆς ηὐξάμην, οὐ δυνάμενος, φησὶν, ἀνενέγκαι τῇ προνοίᾳ τῶν θεῶν τὰ πράγματα διὰ τὸν Ἱππόλυτον, ὃς ἀδίκως ἐτιμωρεῖτο. Ἄλλως. ἄδηλον εἰς θεοὺς δηλονότι. τοῦτο δὲ ἐν τοῖς ἀνθρώποις συναπτέον, ἵν’ ᾖ οὕτως· ἐκπίπτω τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων. οὐκ ἔτι γὰρ καθαρὰν φρένα ἔχω, τουτέστιν 10. δὲ om. A. 18. βίον] βίω A. 11. διαδεχοίμην—ἄλλοις] διαδεχόμενος ib. ἔγκειται—βίον] Brevius in A. τοῖς ἄλλοις A. ἔγκειται ὅτι οὐ πλεονεκτεῖν θέλω, ἀλλὰ 12. δύναται δὲ καὶ ἀ. ἐ. κεῖσθαι] σὺν ἄλλοις εὐτυχεῖν. κατὰ om. I. 21. ἀντὶ τοῦ om. A. κεῖται καὶ ἀ. ἐ. A. 13. τὸ μ. ἀντὶ τοῦ] μ. ὅ ἐστι A. ib. οὐκ ἄφοβον A.B. καὶ ἄφοβον I. ib, πάλιν εἶναι om. A. 22. οὐ δυνάμενος—ἐτιμωμεῖτο addidi 14. μεταβαλλομένη A. B. Fl. 6. ex A. μεταβαλλομένην I. “ Videtur hoc 24. ἐν τοῖς ἀνθρώποις om. A. in dicere: jungi posse vel τὸν αὔρ. lacuna. χρόνον μεταβ. vel τὰ ἤθη μεταβ. ” 25. ἐκπίπτω] ἐκπίπτειν A. MATTH. ib. πρόνοιαν] προνοι A. οὐκ ἔχω γὰρ ἀτάραχον φρένα ἐπὶ τῷ παρόντι, ὅτι ἀδίκως ἀπόλλυται ὁ Ἱππόλυτος.

2.1121 1121. ἐπεὶ τὸν Ἑλλανίας: ἀντὶ τοῦ ἀμ’ οὗ τὸν τῆς Ἑλληνίδος γῆς. B. τῆς Ἑλληνικῆς χώρας τῶν Ἀθηναίων. A. τὸν ἐπιφανέστατον τῆς Ἀττικῆς. καὶ Ὅμηρος “εὐρυάγυιαν Ἀθήνην.” B. ἐπεὶ τὸν Ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα, καὶ τὰ ἑξῆς. ἀστέρα δὲ λέγει τὸν Ἱππόλυτον διὰ τὸ ἐπιφανὲς τῆς παρθενίας αὐτοῦ.

2.1127 1127. ὦ ψάμαθοι: ὦ αἰγιαλοὶ τῆς λευκῆς θαλάσσης ἔνθα ἐγυμνάζετο. A.B.

2.1128 1128. ὅθι κυνῶν ὠκυπόδων ἐπέβας μέτα: ὑπερβατὸν, ὅθι μετὰ κυνῶν ἐπέβης ὠκυπόδων, θεᾶς θῆρας ἐναίρων, τοὺς περὶ τὴν Ἄρτεμιν, ὅ ἐστι τοὺς ὑποτεταγμένους τῇ Ἀρτέμιδι.

2.1130 1130. Δίκτυνναν ἀμφὶ σεμνάν: Δίκτυννα ἐκλήθη ἡ Ἄρτεμις διὰ τοιαύτην αἰτίαν. Βριτόμαρτις νύμφη ἐγένετο συγκυνηγέτις τῇ Ἀρτέμιδι. ταύτης ἠράσθη Μίνως, καὶ κατεδίωξεν αὐτὴν ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέρας ἐννέα. καὶ μὴ ὑποφέρουσα ἔτι ἔρριψεν αὑτὴν ἀπὸ τοῦ ὄρους εἰς τὴν θάλασσαν, καὶ ἐσώθη ἐν τοῖς δικτύοις, καὶ τούτου χάριν ἐκλήθη ἡ Ἄρτεμις Δίκτυννα. A.B.I. Ἄλλως. οἱ μὲν Δίκτυνναν αὐτήν φασι τὴν Ἄρτεμιν, οἱ δὲ Ἑκάτην, οἱ δέ τινα ἑτέραν Δίκτυνναν παρεπομένην τῇ Ἀρτέμιδι. Δίκτυννα τούτῳ τῷ ὀνόματι καλεῖται παρόσου διὰ 1. οὐκ ἔχω γὰρ] γὰρ οὐκ ἔχω A. 16. τοιαύτην αἰτίαν] ταῦτα τὰ αἴτια 5. Ὅμηρος] Od. 7, 80. A. ib. εὐρυάγυιαν Ἀθήνην] εὐρυάγυαν ib. βριτόμαρτις] βριτόμαρτυς A. βριτόμαντυς B. B. βριμόμαντις I. κτιτόμαντις 6. καὶ τὰ ἑξῆς et δὲ om. A. Fl. 6. 15. 8. λευκῆς om. A. ib. ἐγένετο] ἐγίνετο A. 10. ὅθι — ἐπέβας] In A. est ὦ ib. συγκινηγέτις A. B. συγκυνηγή δρυμὸς ὄρειος (sic etiam B.): ὅθι κυνῶν τις Fl. 6. 15. συγκυνηγοῦσα I. μέτα ἐπέβας ἐκυπόδων μετὰ θεᾶς τῆς 17. αὐτὴν ἐπὶ] αὐτῆς A. omisso ἐπί. ἀρτέμιδος τοὺς θῆρας φονεύων. ὑπερβατὸν 18. ἐννέα A. θ B.I. etc. 20. Δίκτυνναν] δίκτυναν A. hic et ib. μετὰ] κατὰ I. infra simplici ν, nisi quod loco ultimo 11. ἐναίρων] ἀναίρων A. ἀναιρῶν δικτύννης. Conf. schol. ad v. F. 6. 15. 146. ib. περὶ] ὑπὸ A. 21. ἑτέραν Δίκτυνναν] Aptius foret 15. Δίκτυνναν] δίκτυναν hic et infra ἑτέραν δαίμονα. Post δίκτυναν quinque simplici ν libri, nisi quod B. in fere literae obliteratae in A. fine scholii δίκτυννα. μεθόθου δικτυηρᾶς οἱ ἐπακτῆρες καὶ κυνηγοὶ τοὺς θῆρας αἱροῦσι, δίκτυον δὲ οἱ ἁλιεῖς οὕτως ἐκάλεσαν τὸ ἀμφίβληστρον. διὰ τὸ ὑπὲρ τῆς μολιβδαίνης τοὺς ἰχθῦς μὴ ἐᾶν ἀναπλέειν, ἀλλὰ παρακατέχειν καὶ ἐναποκλείειν ἔνδον. ἰστέον δὲ ὅτι τὸ ὄνομα τῆς Δικτύννης μᾶλλον τῇ Ἑκάτῃ προσάπτεται ὡς δεῖ, ὡς πᾶσι μὲν παρεπομένῃ θεοῖς, μάλιστα δὲ τῇ Ἀρτέμιδι. δῆλον δὲ ἐκ τοῦ καὶ Ἑκάτην ὀνομάζεσθαι. A.

2.1133 1131. συζυγίαν: σύζευξιν τῶν ἵππων. B. Ἐνετᾶν: Ἐνέτη πόλις ἠπείρου, ἔνθα γίνονται καλοὶ ἡμίονοι καὶ πῶλοι. B. πώλων Ἑνετᾶν: Παφλαγονικῶν. Ἑνετοὶ γὰρ ἔθνος Παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὠνομασμένοι; ἴστω ὅτι πολλοὶ βάρβαροι οὐκ ἐκ πόλεως, οὐδὲ ἐκ χώρας, ἀλλ’ ἐξ ἔθνους ὀνομάζονται, ὡς Νομάδες καὶ Βλέμυες. ἡ δὲ ἐπί ἀντὶ τῆς εἰς, οὐκέτι εἰς συζυγίαν Ἐνετᾶν πώλων βήσῃ, ὡς τὸ “ἐς δ’ ὄχεα φλόγεα ποσὶ βήσετο.” .

2.1133 1133. τὸν ἀμφὶ Λίμνας τρόχον: Λίμνη τόπος Τροιζῆνος Ἀττικῆς, ἔνθα Λιμνῆτις Ἄρτεμις καλεῖται. παρὰ τὸ πεδίον τῆς Λίμνης τὸ τρεχόμενον τοὺς γυμναστικοὺς ἵππους κατέχων τῷ ποδὶ καὶ γυμνάζων.

2.1134 1134. κατέχων: ἡνιοχῶν. B.

2.1135 1135. μοῦσα δ’ ἄϋπνος: τουτέστιν ὑπὸ τῇ κιθάρᾳ παύσεται ἐν τῷ οἴκῳ τοῦ σοῦ πατρὸς ἄϋπνος, ἢ ἄπαυστος. τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ, ἢ τὸν πῆχυν, ὡς κιθαρίζοντος αὐτοῦ. ἡ δὲ ἄϋπνος, φησὶν, ᾠδὴ τῶν χορδῶν τῶν ὑπὸ τῇ ἄντυγι λήξει. B.I. ἄϋπνος: πρωί. B. ἄντυγι: ἡ περιφέρεια. B.

2.1137 1137. ἀστέφανοι δέ: αἱ δὲ ἀναπαύσεις τῆς θυγατρὸς Λητοῦς, ὅ ἐστι τῆς Ἀρτέμιδος, αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστέφανοι ἔσονται. λείπει γὰρ τὸ ἔσονται. B.I. Ἄλλως. αἱ ἀναπαύσεις τῶν κορῶν τῶν συγχορευουσῶν περὶ τὸ τῆς Λητοῦς ἱερὸν ἀστέφανοι ἔσονται, τουτέστι λυπηθήσονται ἐπὶ σοὶ αἱ παρθένοι. A.B.I. τινὲς δὲ τὸ ἀστέφανοι κατ’ ἐπίτασίν φασιν ἀντὶ τοῦ πολυστέφανοι ἔσονται, τὸ α λέγοντες ἐπιτατικόν. B.I. κόρας: Ἀρτέμιδος. τῆς κόρης πρὸς τὸ Λατοῦς. B.

2.1138 1138. βαθεῖαν: τὴν κατάπυκνον. B. χλόαν: ὕλην. B.

2.1140 1140. φυγᾷ σᾷ: διὰ τὴν φυγὴν οὐκέτι ἁμιλληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου, τίς σοι δοθήσεται γυνή. Ἄλλως. φυγάδος σου ὄντος ἡ φιλονεικία τῶν παρθένων τῶν ἐπιδοξαζομένων τῷ σῷ γάμῳ ἀπώλετο. B.I.

2.1141 1141. λέκτρων: ἃ ἦσαν. B. ἅμιλλα: ἡ περὶ νυμφιδίου ἅμιλλα, ὅ ἐστι φιλονεικία καὶ ἐναντίωσις. B.

2.1142 1142. δάκρυσι: ἐν τοῖς δακρύοις διάξω βίον δυστυχῆ. B. ἐν τοῖς δακρύοις διάξω καὶ ζήσω. A.

2.1143

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1143. πότμον ἄποτμον: θάνατον κακοθάνατον. Α.Β. κακὸν, δυστυχῆ. Β.

2.1145 1145. μανίω: ἐπειδὴ οὐκ ἀπέλαυσεν αὐτοῦ. Α.Β. ὀργίζομαι, σχετλιάζω τοῖς θεοῖς. Α. ὀργίζομαι, χαλεπαίνω τοῖς θεοῖς. Β.

2.1147 1147. συζυγίαι Χάριτες: αἱ ἔφοροι τοῦ γάμου. Β. αἱ συνεζευγμέναι Χάριτες τῷ Ἱππολύτῳ, αἱ συζευγνῦσαι, ὅ ἐστι γαμήλιοι, ἀντὶ τοῦ ὦ Χάριτες ἔφοροι τῆς συζυγίας.

2.1150 1150. οὐδὲν ἄτας αἴτιον: οὐδεμιᾶς βλάβης ὄντα αἴτιον. Β.

2.1152 1152. δόμους: τούσδε. Β.

2.1157 1157. Θησεῦ, μερίμνης: οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν. πολίτας δέ φησι τοῦ Θησέως Ἀθηναίους καὶ Τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστὶν, ἐκ μὲν πατρὸς Ἀθηναίων, ἐκ δὲ μητρὸς Τροιζηνίων. Α.Β.Ι. λύπης. Β.

2.1159 1159. καὶ γῆς τέρμονας: περὶ τὰ τέλη τῆς Τροιζῆνος· τέρμονας γὰρ Τροιζῆνος τοὺς ὅρους φησίν. ἀστυγείτονας δὲ πόλεις τὰς δύο φησὶ, Τροιζῆνα καὶ Ἀθήνας. Β.Ι.

2.1162 1162. ὡς εἰπεῖν ἔπος: ὡς ἐν συντόμῳ εἰπεῖν. Α.

2.1168 1164. πρὸς τοῦ: ἀντὶ τοῦ μέλλει θνήσκειν. Β. ἀπώλετο δηλονότι. μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν, ὡς καὶ τὴν ἐμὴν, κἀκεῖνος φονεύει αὐτόν; .

2.1168 1168. κρέοντι: βασιλεῖ, κρατοῦντι. Β. ἠράσω πέρι: ἡ περί ἀντὶ τῆς κατά, κατὰ τοῦ σοῦ παιδός. ὦ Πόσειδον, ὄντως ἔμαθον ὅτι ἐμὸς εἶ πατήρ.

2.1171 1171. τῷ: ποίῳ. Β.

2.1172 1172. ῥόπτρον: τὸ τῆς δικαιοσύνης ὅπλον. Α. ἡ πάγη. Β. ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους, καὶ ἡ πάγη, καὶ τὸ ἐπίσπαστρον. Ἄλλως. πλῆγμα. κυρίως δὲ ῥόπτρον τὸ τῆς δίκης ῥόπαλον, ἀπὸ τοῦ ῥαπίζω. Β.Ι.

2.1173 1173. κυμοδέγμονος: ἡμεῖς μὲν ἐν τῷ αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου.

2.1174 1174. ψήκτραισιν: ἀπὸ τοῦ καταψήχειν ὠνομάσθη ψήκτρα. Β.Ι.

2.1176 1176. ὡς οὐκέτ’ ἐν γῇ: ὁ Ἱππόλυτος φεύγει, φησὶ, τὴν ἰδίαν γῆν καὶ πόλιν.

2.1178 1178. ταὐτὸ δακρύων: ὁ δ’ ἦλθε θρηνῶν, οὐ περὶ ἄλλων δακρύων, ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς. Α. ἀντὶ τοῦ τὸν αὐτὸν στενάζων στεναγμόν. Β.Ι.

2.1179 1179. μυρία δ’ ὀπισθόπους: ἀντὶ τοῦ πολλὴ προπομπὴ, πολλὴ ἄθροισις, ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου.

2.1180 1180. ἅμ᾽: αὐτῷ. Β.

2.1181 1181. ἀπαλλαχθείς: ἀπαλλαγείς. Β.

2.1182 1182. τί ταῦτ’ ἀλύω: λείπει ἡ διά, διὰ τί δυσφορῶ, διὰ τί ἀδημονῶ καὶ θρηνῶ; οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς.

2.1183 1183. ἐντύναθ᾽: ζεύξατε. Β.

2.1186 1186. ἐξηρτυμένας: ἡτοιμασμένας· ἀντὶ τοῦ ταχέως, ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα.

2.1188 1188. μάρπτει δὲ χερσίν: περιάπτει. Β. εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι, ὅπως δοκοῖεν οἱ ἵπποι ὑπό τινος ἄρχεσθαι, ὡς ὁ ποιητὴς “ἐξ ἄντυγος ἡνία τείνας.” Α.Β.Ι. Ἄλλως. λαμβάνει τοὺς χαλινὺς ἐν ταῖς χερσὶ, καὶ κρατεῖ ἐν τοῦ ἅρματος. Β.Ι.

2.1189 1189. αὐταῖσιν ἀρβύλαισιν: πεδίλοις, ὑποδήμασιν. Α. καταχρηστικῶς τοῖς τόποις ἐν οἷς πατοῦσιν οἱ ἡνίοχοι. Β. ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.1190 1190. καὶ πρῶτα μὲν θεοῖς: ἀντὶ τοῦ ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας. B.I. ἀναπτύξας: ἀνατείνας. B.

2.1192 1192. αἴσθοιτο δ’ ἡμᾶς: καὶ μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με. ἑνικῷ πληθυντικὸν ἐπήγαγεν· διὸ τὸ χ.

2.1194 1194. ἐπῆγε κέντρον: ἀντὶ τοῦ μάστιγα ἐπὶ τοὺς ἵππους μετήνεγκε. B.

2.1195 1195. ἐφ’ ἅρματος: ἀντὶ τοῦ παρὰ τῷ ἅρματι ὡς τὸ “Ἀθηναίης ἐπὶ γούνασι.” A.B.

2.1197 1197. εὐθύς: πλησίον. B. κἀπιδαυρίας: Κορίνθου. B. ἔνθα ἐτιμᾶτο ὁ Ἀσκληπιός. σεσημείωται ὅτι οὐ λέγουσι τὴν ἐπ’ εὐθείας. B. ὅσον: εἰς. B.

2.1198 1198. ἔρημον: εἰς. B. εἰσεβάλλομεν: ἐφθάσαμεν. B.

2.1199 1199. τοὐπέκεινα: μακρόθεν. B. ἀκτὴ, ἀκρώρεια. τοὐπέκεινα δὲ ἀντὶ τοῦ πόρρω. B.

2.1200 1200. ἤδη: τὸ ἤδη πρὸς τὸ ἔρημον. B.

2.1204 1204. νεανικός: ἰσχυρὸς, μέγας. B. Fl. 2.

2.1205 1205. ἁλιρρόθους: τοὺς περιρρεομένους τῇ θαλάσσῃ. B.

2.1206 1206. ἀκτὰς ἀποβλέψαντες: εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν ἦν τὸ κῦμα ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ἐκ τοῦ ὕψους, φησὶ, τοῦ κύματος οὐκέτι ἑώρων τὴν Σκειρωνίδα ἀκτήν.

2.1207 1207. στηρίζον: ἐγγίζον. A. γειτνιάζον, ἐγγίζον. B.

2.1209 1209. ἰσθμόν: τὸν τῆς Κορίνθου. B.

2.1210 1210. κἄπειτ᾽ ἀνοιδῆσαν: τὸ κῦμα εἰς ὕψος ἠρμένον. ἰσθμὸν δὲ τὴν στενὴν γῆν, τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων. διαφέρει δὲ ἰσθμὸς πορθμοῦ. ἰσθμὸς μὲν γάρ ἐστιν ὁ μεταξὺ δύο θαλασσῶν πορεύσιμος τόπος, πορθμὸς δὲ τὸ ἀνάπαλιν. καὶ τέθριππος ὄχος τὸ ὄχημα τὸ ἐκ τεσσάρων ἵππων ἐζευγμένον, τοῦ Ἱππολύτου δηλονότι.

2.1211 1211. καχλάζον: ψοφεῖ. B.

2.1212 1212. τρικυμίᾳ: ζάλῃ. B.

2.1215 1215. οὗ πᾶσα: οὗτινος ταύρου βοῶντος πᾶσα ἡ γῆ φωνῆς ἐπληρώθη. B.

2.1216 1216. φρικῶδες: ἰσχυρότερον τῆς θέας. οἷον, ὑπὲρ θέαν ἦν τὸ ἐκταθὲν, ὡς μηδὲ φέρειν τὴν φωνὴν τὴν ἀκοὴν μηδὲ τὴν θέαν τὰ ὄμματα. B.

2.1217 1217. δεργμάτων: ἀποσκοπῆς τῶν ὀφθαλμῶν. B. τῶν βλεμμάτων. B.

2.1219 1219. καὶ δεσπότης μέν: ἤθεσι τῆς μελέτης καὶ τῆς ἐμπειρίας συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν. Ἄλλως. καὶ ὁ μὲν Ἱππόλυτος, διὰ τὸ μὴ θροηθῆναι τοὺς ἵππους αὐτοῦ, ἐπέπεσεν αὐτοῖς, καὶ ἔσφιγξε τοὺς χαλινούς. B.I.

2.1220 1220. πολὺς ξυνοικῶν: ἀντὶ τοῦ λίαν ἔμπειρος ὢν συνηθείαις καὶ τέχναις ἱππικαῖς. A.B. πολύς: λίαν. B.

2.1221 1221. ἕλκει δὲ κώπην: τὸ ἑξῆς, ἕλκει δὲ ἱμᾶσι. κώπην δὲ τὴν μάστιγα νῦν λέγει. ἕλκει δὲ εἰς τοὔπισθεν, ἱμᾶσιν ἀρτήσας δέμας, ὡς ναύτης κώπην ἕλκων εἰς τοὔπισθεν. Ἄλλως. ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον καὶ διασώζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει.

2.1222 1222. ἀρτήσας: ἐκκρεμάσας. B.

2.1223

1223. αἱ δ᾽ ἐνδακοῦσαι: αἱ δὲ πῶλοι δακοῦσαι καὶ ἐγκρατήσασαι τοὺς χαλκοῦς χαλινοὺς, τοὺς ἐκ πυρὸς γενομένους, ἐν ταῖς σιαγόσι, καὶ διάπυροι γενόμεναι ἔτρεχον, καὶ μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι μήτε τῶν χαλινῶν.

2.1225 1225. ἱπποδέσμων: ἡνιόχων. B. rec. χαλινῶν. B. rec.

2.1226 1226. κεἰ μὲν εἰς τὰ μαλθακά: καὶ εἰ μὲν εἰς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποιεῖτο, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων καὶ ἐθρόει αὐτοὺς, εἰ δὲ εἰς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι, ὄπισθεν περιεπάτει ὁ ταῦρος καὶ προσπελάζων τῇ περιφερείᾳ συνηκολούθει.

2.1227 1227. οἴακας: τὰς ἡνίας τροπικῶς. B.

2.1228 1228. τοὔμπροσθεν: τῶν ἵππων. B. rec.

2.1229 1229. τέτρωρον: τὸ ἐκ τεσσάρων ἐζευγμένον ἅρμα. B.

2.1230 1230. μαργῶσαι: μαινόμεναι. B.

2.1232 1232. ἐς τοῦθ᾽: ἕως ἔρριψεν αὐτόν. A.B.

2.1233 1233. ἁψῖδα: ἀψῖδα νῦν τὸν τροχὸν ἐκάλεσεν. A.B. κύκλον τροχῶν. B.

2.1234 1234. σύμφυρτα: σύμμικτα. B.

2.1235 1235. ἐνήλατα: τὰ ἐμβαλλόμενα ταῖς χοινικίσιν. A.B. οἱ πασσαλίσκοι οἱ πρὸς τῷ ἄξονι, τὰ καλούμενα ἁμαξηδόνια, αἱ χνόαι, ἢ τὰ ἐμβαλλόμενα πρὸς τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν. A. B.I. Ἄλλως. τὰ μικρὰ ξύλα τὰ ὡσανεὶ ἧλοι πεπηγμένα ἐν τῷ ἄξονι. A.

2.1239 1239. θραύων δὲ σάρκας: ἀντὶ τοῦ θραυόμενος, ἤτοι συντριβόμενος, κατακλώμενος τὴν κεφαλὴν, ἐν ταῖς πέτραις. A.B.I.

2.1240 1240. ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη. A.B.

2.1247 1247. ἵπποι δ᾽ ἔκρυφθεν: οἷον, οἱ δὲ ἵπποι καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμοῦ ἐφάνησαν, ἀλλ᾽ ἀφανῆ ἐγένοντο ἀφ᾽ ἡμῶν.

2.1248 1248. λεπαίας δὲ ἤτοι κατὰ τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς, ἤτοι τῆς ὀρεινῆς, παρὰ τὸ λελεπίσθαι. A.B.I. τῆς ἀκροτάτης, τῆς ὀρείας. B.

2.1252 1252. οὐδ᾽ εἰ γυναικῶν: οὐ δυνήσομαι ποτὲ πιστεῦσαι ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης, οὐδὲ ἐὰν καὶ τὸ γένος τῶν γυναικῶν ὅλον ἀποθάνῃ.

2.1253 1253. καὶ τὴν ἐν Ἴδῃ: ἄδηλον ποίαν Ἴδην. ἀντὶ τοῦ οὐδὲ ἐὰν 13. ἁμαξηδόνια A.B. Fl. 6. ἁμαξηδόνιαι 22. δὲ ἤτοι om. A. I. ib. κατὰ om. I. ib. αἱ χνόαι B. Fl. 6. ὄχαι I., 23. ἤτοι et τὸ om. A. om. A. 25. οὐ δυνήσομαι ποτὲ πιστεῦσαι] οὐδαμῶς 14. ἐμβαλλόμενα] βαλλόμενα A. A. 17. ἤτοι et κατακλώμενος om. A. 26. καὶ add. A.B. 20. οἷον om. A. ib. ὅλον hic A., post γένος B.I. 21. οὐδαμοῦ A. οὐδαμῶς B.I. 27. ἀποθάνῃ] ἀπέθανεν A. ib. ἀλλ̓—ἡμῶν om. A. 28. ἀντὶ τοῦ om. I. πληρώσῃ γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης. Ἴδη δὲ ὄρος σύνδενδρον ἐν τῇ Τροίᾳ.

2.1256 1256. οὐδ᾽ ἔστι μοίρας: τοῦ δέοντος καὶ μεμοιραμένου, τοῦ δικαίου καὶ ἀναγκαίου οὐκ ἔστιν ἀπαλλαγή. τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἐπιρρηματικὴν σύνταξιν ἔχουσα.

2.1257 1257. μίσει μὲν ἀνδρός: τραγῳδεῖ Θησεύς· ἐπειδὴ, φησὶ, μισῶ αὐτὸν, ἐχάρην, ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυποῦμαι, διότι ἐξ ἐμοῦ ὑπάρχει γεννηθείς.

2.1259 1259. ἐστὶν ἐξ ἐμοῦ: ἐκυήθη. B.

2.1261 1261. πῶς οὖν: ἀπὸ κοινοῦ τὸ χρή. ὁ δὲ νοῦς, πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον, ἢ τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί.

2.1263 1263. ἐμοῖς δέ: χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασιν οὐδέποτε σκληρὸς γενήσῃ εἰς τὸν σὸν υἱόν. B.I.

2.1268

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1268. σὺ τὰν θεῶν ἄκαμπτον φρένα: τὴν ἀμετάβλητον, τὴν ἀκαταγώνιστον, μὴ καμπτομένην περιάγεις. A. Ἄλλως. σὺ, φησὶ, τὴν ἀνυπόστατον τῶν θεῶν καὶ ἀνθρώπων φρένα περιάγεις καὶ ὑποτάσσεις, ὦ Ἀφροδίτη, σὺν τῷ Ἔρωτι.

2.1270 1270. ἄγεις: κυριεύεις. B. σύν σοι βουκολεῖς, ποιμαίνεις. B. rec.

2.1271 1271. πτερῷ: βέλει. τὸ ἄγεις ἀπὸ κοινοῦ. B.

2.1272 1272. εὐάχητον: τὸν ἀποτελοῦντα μέγαν ἦχον. B.

2.1274 1274. θέλγει: ἐκεῖνον. B. φλέγει δ’ Ἔρως: γρ. θέλγει. A. rec. ᾧ μαινομένᾳ κραδίᾳ: ᾧτινι σὺν τῇ μαινομένῃ καρδίᾳ ἐφορμήσει πτηνὸς ὤν. A.

2.1275 1275. πτανός: πεταστός. B.

2.1276 1276. χρυσοφαής: ὁ Ἔρως ὁ χρυσοφαὴς, τουτέστιν ὁ λαμπρὸς ὤν. Ἄλλως. οὐ προσηνὴς ὁ χρυσὸς, ἀλλὰ τὸ εἶδος χρυσοφαής. φύσιν ὀρεσκώων: φύσιν ἔχων θηρὸς, ἀντὶ τοῦ ἄγριος ὢν τοῖς ποθοῦσι, καὶ τῶν ἐν θαλάττῃ θηρίων φύσιν ἔχων καὶ τῶν ἐν τῇ γῇ. ὁ δὲ νοῦς τοιοῦτος· ᾧ ἂν ἐφορμήσῃ ἢ τῶν ὀρείων, ἢ τῶν πελαγίων, ἢ τῶν ἐν τῇ γῇ, ἣν ὁ ἥλιος καταλάμπει.

2.1279 1279. δέρκεται: ταῖς αὐγαῖς ὁ ἥλιος θεωρεῖ. B.

2.1280 1280. ἄνδρας τε: ἀντὶ τοῦ ἀνθρώπων ἄνδρας κατ’ ἐξοχὴν εἶπεν. B.I.

2.1286 1286. τοῖσδε: ταῖς κατὰ τὸν Ἱππόλυτον κακώσεσι. B.

2.1289 1289. ἀφανῆ: εἰργάσω ἀφανῶς καὶ ἀνεξελέγκτως, πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς γυναικὸς, καὶ τοῦτο ποιήσας φανερὰν ἔσχες βλάβην.

2.1290 1290. πῶς δ’ οὐχ ὑπὸ γῆς: τὸ πῶς οὐκ ἀπὸ κοινοῦ, ἵν ᾖ οὕτως, πῶς οὐ πτηνὸς ἄνω μετελθὼν τὸν βίον πήματος ἔξω πόδα τόνδ’ ἀνέχεις. μεταβὰς δὲ μεταβιβάσας, μεταβαλὼν, μεταλλάξας τὴν ζωὴν, καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον.

2.1292 1292. μεταβὰς βίοτον: παραδραμὼν ζωήν σου. B.

2.1293 1293. πήματος: τοῦ μιάσματος. B.

2.1294 1294. ὡς ἐν ἀγαθοῖς ἀνδράσι: τοῦτό φησιν, εἰς ἀγαθοὺς ἄνδρας οὐκέτι μετρηθήσεταί σου ὁ βίος.

2.1295 1295. κτητόν: κατατεταγμένον. B.

2.1246 1246. κακῶν κατάστασιν: διήγησιν. A.B.

2.1297 1297. προκόψω: ἀπὸ τοῦ νῦν. B.

2.1298 1298. ἀλλ’ εἰς τόδ’ ἦλθον: ὁ ἀλλά ἀντὶ τοῦ γάρ, ἀντὶ τοῦ φανερώσω τὴν σωφροσύνην τοῦ σοῦ παιδὸς, καὶ τῆς σῆς γυναικὸς τὸν οἶστρον. ἢ τάχα οὐκ οἶστρον, ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ τὴν σωφροσύνην. γενναιότητα δὲ λέγει τὸ σπουδάσαι κρύψαι τὸν ἔρωτα.

2.1300 1300. οἶστρον: γρ. ψεῦστιν, ἤγουν τὴν ψευδολόγον. B.

2.1303 1303. δηχθεῖσα: συσχεθεῖσα τοῖς πόνοις τῆς Ἀφροδίτης, τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ. A.B.I. τὸ δὲ “γνώμῃ νικᾶν τὴν Κύπριν πειρωμένη” ἀντὶ τοῦ τῷ λογισμῷ τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ Ἱππολύτῳ, διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός. B.I.

2.1306 1306. ἣ σῷ δι’ ὅρκων: ἥτις τροφὸς τῷ σῷ υἱῷ τὸν ἔρωτα ἐσήμανεν.

2.1307 1307. ἐφέσπετο: τῆς τροφοῦ. B.

2.1313 1313. ἀλλ’ ἔχ’ ἥσυχος: ἀλλ’ ἡσύχαζε, ὡς ἂν οἰμώζῃς πλέον τὸ μετὰ ταῦτα ἀκούσας.

2.1314 1314. τοὐνθένδ’: τὸ μετέπειτα. B.

2.1316 1316. ὧν τὴν μίαν παρεῖλες: παρέπεμψας, ἀπώλεσας, ἀφεῖλες, ὧν ἐξεῖλες τὴν μίαν εὐχὴν ἀπὸ τῶν τριῶν ὧν ἔλαβες ἀπὸ τοῦ πατρὸς, καὶ ἀπώλεσας τὸν υἱόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.1319 1319. ᾔνεσε: ἐπηγγείλατο. B.

2.1320 1320. ἐκείνῳ: τῷ Ποσειδῶνι. B. rec.

2.1330 1330. θέλοντος: γρ. μέλλοντος. B.

2.1331 1331. ἐπεὶ σάφ᾽ ἴσθι: ἐπεὶ προεῖπε παρὰ θεοῖς εἶναι νόμον τὸ μὴ ἀντιπράττειν ἀλλήλοις, φησὶν ὅτι, εἰ μὴ νόμος ἐκώλυεν, ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα, μὴ εὐλαβουμένη τὸν Δία. ἐν τίνι γὰρ ἔμελλεν αὐτὸν εὐλαβεῖσθαι, μηδὲ νόμον λύουσα, ἀλλὰ καὶ εὐσεβῆ 1. διήγησιν] τὴν διήγησιν B. Matth. 3. ἀντὶ τοῦ φανερώσω] ἀντιφανερώσω 10. ἐχθίστης] μισητῆς A. A. ib. ὁπόσαι] ὅσαι A. 4. καὶ τῆς—οἶστρον] οἶστρον ἡ τρόπον 17. οἰμώζης—τὸ] οἰμώζη—τὰ B.I. 26. θεοῖς] τοῖς θεοῖς Fl. 6. 15. τινὰ A. 6. τὴν σ.] τὴν om. A. ib. εἶναι om. I. ib. δὲ A. γὰρ B.I. ib. τὸ et φησὶν add. B. 9. πόνοις— εἰσὶν] πόθοις— ἐσμὲν ἄνδρα σώζουσα; καὶ γὰρ ἀγαθὰ καὶ ἔννομα διαπραττόμενος ἐξουσίαν οὐ δέδοικεν. καὶ γὰρ, εἰ μὴ νόμος με εἶργε, κωλυομένη ὑπό τινος λοιπὸν ἀδεῶς ἐβοήθουν αὐτῷ. B.I.

2.1338 1338. ἔρρωγε: δὲ ἀντὶ τοῦ συνερράγησαν, συνέπεσον, ἢ συμβεβήκασι. ἔρρευσεν. B. κατὰ σοῦ ἐρράγη τὰ κακά. A.

2.1346 1346. δίδυμον: τὴν Φαίδραν καὶ τὸν Ἱππόλυτον. B.

2.1349 1349. δύστηνος ἐγώ: ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ Ἀπόλλωνος ὁ Θησεὺς ὅτι εἰς ὃ ἂν εὔξηται τῷ Ποσειδῶνι τρίτον τελειοῦται αὐτῷ. χρησμοῖς δὲ τοῖς αἰτήμασι, ταῖς κατάραις. εἰσὶ δὲ αἱ εὐχαὶ Θησέως πρὸς Ποσειδῶνα τρεῖς, πρῶτον ἀνελθεῖν ἐξ Ἅιδου, δευτέρου ἐκ λαβυρίνθου, τρίτον Ἱππολύτου θάνατον.

2.1350 1350. χρησμοῖς: διαβολαῖς. A. αἰτήσεσι. B.

2.1353 1353. σφάκελος: σπαρσγμὸς, ὁ μετὰ ὀδύνης σπασμὸς, κατὰ συγγένειαν τοῦ π εἰς φ. A.B. Fl. B.

2.1355 1355. στυγνόν : μεμισημένον τοῦ ἱππασμοῦ. B.

2.1356 1356. βόσκημα χερός: ἀνάθρεμμα. A. τὸ τραφὲν ταῖς χερσί μου. B.

2.1360 1360. τὶς ἐφέστηκεν δεξιᾶ: γρ. ἐνδέξια χωρὶς τοῦ ῑ, ὡς τὸ ἐνδέξια φῶτα ἕκαστον.” B.

2.1361 1361. πρόσφορα: προσεχόντως. B.

2.1362 1362. κατάρατον: τὸν κατάραις ἀπολλύμενον. B.

2.1366 1366. κατάκρας γρ. κατὰ γᾶς. A.

2.1373 1373. θάνατος παιάν: σωτὴρ καὶ ἰατρὸς προσέλθοι ὁ θάνατος. B.

2.1375 1375. ἀμφιτόμου: τῆς ἀμφοτέρωθεν κοπτούσης. γρ. καὶ διστόμου. B.

2.1376 1376. διαμοιρᾶσαι: διακόψαι ἐπιθυμῶ καὶ διατεμεῖν. λείπει δὲ τὸ ὥστε. B.

2.1378 1378. ὦ πατρός: τινὲς τὸ ὦ σχετλιαστικὸν προφέρονται, στίζοντες εἰς αὐτὸ, ἵν᾽ ᾖ ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς ἐπ᾽ εὐθείας, καὶ συναπτόμενον τοῖς ἑξῆς. τινὲς εἰς τὸ ἀρά τελείαν παρέχουσιν, ἵν᾽ ᾖ καθ᾽ ἑαυτὸ τὸ κῶλον καὶ ὁ τέ σύνδεσμος ὁ ἑξῆς περιττός.

2.1380 1380. προγεννητόρων: τὸ τῶν προγόνων κακὸν εἰς ἐμὲ ὁρίζεται καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν. Ἄλλως. ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος. ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν Παλλαντιδῶν φόνον. εἰς δὲ τὸ τί ποτε λείπει ἡ διά, ἵν᾽ ᾖ, διὰ τί ἐπ᾽ ἐμὲ τὸν οὐδὲν ὄντ᾽ ἐπαίτιον τῶν κακῶν. ὁ δὲ ποτέ παρέλκει.

2.1386 1386. ἀναλγήτου: πολυαλγήτου. A.B.

2.1389 1389. ὅτι μὴ ἠθέλησας χρᾶναι τοῦ πατρὸς τὴν εὐνήν. B.

2.1391 1391. ὀδμῆς: εὐωδίας. B.

2.1397 1397. κυναγός: Ἀττικῶς. B.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.1401 1401. φρονῶ δή: ἐννοῶ τὴν θεὰν, ἥτις μ’ ἀπώλεσεν. B.I.

2.1402 1402. τιμῆς ἐμέμφθη: ὅτι ἐμὲ ἐτίμας, ἐμέμφθης παῤ αὐτῆς, ἢ ὅτι οὐδὲ ὅλως ἐτίμας αὐτήν. Ἄλλως. ἴσθι ὅτι ἐμίσησέ σε σωφρονοῦντα, διότι ἐμέμφθη ὑπὸ σοῦ, καὶ οὐκ ἠξιώθη τιμῆς. A.B.I. Ἄλλως. ἐμέμφθης, φησὶ, τιμῆς χάριν τῆς ἐμῆς, ἀπεχθὴς δέ σοι ἡ Ἀφροδίτη ἐγένετο. A.

2.1413 1413. τί δ’ ἔκτανες: τί μέμφῃ τὰς κατάρας; ἐφόνευσας γὰρ ἄν με καὶ χωρὶς αὐτῶν· οὕτως ἦσθα ὠργισμένος. Ἄλλως. καὶ ἄνευ τῆς κατάρας ἀπώλεσας ἄν με ἐκ τῆς ὀργῆς τοῦ λογισμοῦ.

2.1414 1414. δόξης γὰρ ἦμεν: τῆς ὀρθῆς δοκήσεως τοῦ δικαίου καὶ τῆς ἀληθείας ἠπατημένοι.

2.1415 1415. φεῦ, εἴθ’ ἦν: εἴθε ἦν καταρᾶσθαι ἄνθρωπον θεῷ, ἵνα ἀμύνηται τὸν Ποσειδῶνα ὑπὸ καταρῶν τοῖς θεοῖς.

2.1417 1417. ἄτιμοι: ἀτιμώρητοι. Fl. 2.

2.1420 1420. ἐγὼ γάρ: ἐγὼ γὰρ ἐκ τῆς ἐμῆς χειρὸς ἐν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον, ὅστις ἂν τύχῃ φίλτατος αὐτῆς τῆς Ἀφροδίτης ἀπὸ τῶν ἀνθρώπων. εἰς τὸν Ἄδωνιν δὲ αἰνίττεται, ὥς τινές φασιν. λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις Ἀρτέμιδος ἀπώλετο ὁ Ἄδωνις, ἀλλ’ ὑπ’ Ἄρεως. ἄδηλον οὖν τίνα φησί.

2.1425 1425. κόραι γάρ: ἐν Τροιζῆνι γὰρ ἠρίον Ἱππολύτου, ἐν ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι διὰ τοῦ μέλλοντος χρόνου ἀπολαύουσαι ἐν ἤθει.

2.1428 1428. μουσοποιός: ὑμνητική. B.

2.1432 1432. προσέλκυσαι: πρόσπτυξαι. B.

2.1437 1437. οὐ θέμις: καὶ ἐν τῇ Ἀλκήστιδι ὁ Ἀπόλλων “ἐγὼ δὲ, μὴ μίασμά μ’ ἐν δόμοις κίχῃ, λείπω μελάθρων τῶνδε φιλτάτην στέγην. B.I.

2.1441 1441. μακράν: τὴν πολυχρόνιον καὶ παλαιὰν βουλομένης σου καὶ κελευούσης. B.

2.1445 1445. κατόρθωσον: ὀρθὸν κατάκλινον, ὅπερ εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνησκόντων.

2.1448 1448. χέρα: γρ. φρένα. B.

2.1462 1462. κοινόν: τοῦτο ὁ χορὸς ἐπιλέγει, Ἱππολύτου ἀποθανόντος. 1. καὶ et ἠπατημένοι om. A., sic ib. γὰρ ἠρίον A. ἱερὸν B.I. habet gl. ἠπατημένοι. ib. ἐν add. A. 3. θεῷ] θεὸν A. 12. διὰ—ἤθει om. A. 4. ὑπὸ καταρῶν τοῖς θεοῖς om. A. ib. ἀπολαύουσαι B. Fl. 6. ἀπολαβοῦσαι 6. ἐγώ γὰρ ἐκ A. γὰρ om. B.I. Fl. 15. ἀπολαυούσας I. 7. φίλτατος A.B. Fl. 6. 15. φίλτατα 16. καὶ— Ἀπόλλων om. I. ib. Ἄλκήστιδι] V. 22. I. 8. δὲ om. A. 9. φασιν add. A. om. I. 17. μίασμά μ’ ἐν δόμοις κίχῃ 10. ὁ add. A. ib. φιλτάτην στέγην] φιλτάτηι στέγηι ib. ὑπ̓] ἀπ’ A. ib. Ἄρεως] ἄρεος A. 24. τοῦτο] τοῦτο δὲ A. verbis τοῦτο ib. τίνα] τί A. δὲ—ἀποθανόντος post ἀπροσδοκήτως positis. 11. Τροιζῆνι] τροιζηνία A. in quo lemma ἐν πόλει τροιζηνία. κοινὸν, φησὶ, τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως. δοκήτως.

2.1449 1449. οὐ δῆτ’: λέγω σε ἄναγνον δῆτα. Fl. 6.

2.1457 1457. κεκαρτέρηται: ἀντὶ τοῦ παρέρχεται. B.

2.1464 1464. πίτυλος: ὁρμὴ, φορὰ, πλήμμυρα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσι. αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν μᾶλλον ἐπικρατοῦσι. τὸ μᾶλλον γὰρ ἀντὶ τοῦ μάλιστα, συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org